καὶ Θεολογία ἐγένετο δεύτερος· ἔτη δ' ὀκτὼ πρὸς τοῖς δέκα σχολαρχήσας εὐδοκίμως πάνυ καὶ μετὰ κλέους, ἐπὶ Παρθενίου τοῦ ἐπωνυμουμένου Γέροντος τὸ τῶν μοναχῶν τριβώνιον ὑποδὺς καὶ Θεοδόσιος μετονομασθείς, προήχθη εἰς τὸν τῆς μητροπόλεως Ἄρτης θρόνον, Ἀρχιερεὺς γενόμενος (1639)· ἀπὸ δὲ τῆς τούτου διδασκαλίας ἡ ἐν Κωνσταντινουπόλει Σχολὴ προάγεσθαι ἤρξατο ἐπὶ τὰ μείζω καὶ τελεώτερα. Τοῦτον δὲ διεδέξατο Ἰωάννης ὁ Καρυοφύλλης Βυζάντιος (1646), ὁ δοκιμώτερος τῶν μαθητευσάντων αὐτῷ. Διέπρεψε δὲ καὶ οὗτος εὐμεθόδως καὶ ἀόκνως τὰ τοῦ διδασκάλου διδάσκων μέχρι τοῦ 1664 ἔτους λήγοντος· μετὰ δὲ τοῦτον ἀποστάντα τῆς Σχολαρχίας καὶ ἀντὶ τῆς πολυετοῦς καὶ πολυμόχθου διδασκαλίας τῷ τοῦ μεγάλου Λογοθέτου ἀξιώματι τιμηθέντα κοινῇ γνώμῃ καὶ ψήφῳ πάντων (ἦν δ' ἐν ἔθει τῇ Ἐκκλησίᾳ τοὺς ὑπὲρ τοῦ Ἔθνους ἐργαζομενους καὶ μοχθοῦντας ἀμείβεσθαι καὶ γερῶν ἀξιοῦν τοὺς θεράποντας τῶν Μουσῶν) Ἀλέξανδρος ὁ ἐκ μητρὸς λίαν επιφανοῦς Βυζαντίδος, πατρὸς δὲ Χίου, ὁ καλῶς πρότερον κατ' οἶκον ἐκπαιδευθεὶς παρ' αὐτῆς τὰ Γραμματικὰ καὶ τῶν μαθημάτων τὰ Ἐγκύκλια καὶ τῶν Ἀσιατικῶν γλωσσῶν γενόμενος ἐγκρατής, ἐν δὲ Βονωνίᾳ καὶ Παταβίῳ ὕστερον τὴν Φιλοσοφίαν καὶ τὴν τῶν Ἀσκληπιαδῶν τέχνην ἐκδιδαχθείς, ἐπανελθὼν εἰς Κωνσταντινούπολιν, ἀναδείκνυται Σχολάρχης ἐκ πάντων προκριθείς, ἅτε δὴ παντοίᾳ μαθήσει καὶ σοφίᾳ κομῶν, ἐν τῇ κατὰ τὸ Μετόχιον σχολῇ (1665), τῇ ἱδρυθείσῃ προτροπῇ τοῦ Πατριάρχου Ἱεροσολύμων Νεκταρίου παρὰ τοῦ φιλομούσου καὶ κοινωφελεστάτου ἐκείνου ἀνδρὸς τοῦ ἐκ Καστορίας Μανωλάκη (1663)· ἧς προέστη τότε (1663) Γερμανὸς ὁ Λοκρός, ἀνὴρ λόγιος ἐπὶ τὸν τῆς Νύσσης μητροπολιτικὸν θρόνον ἀρθείς· ἐν δὲ ταύτῃ, ἐν ᾗ ἡ Ἑλληνική, ἡ Φιλοσοφία καὶ ἕτεραι ἐπιστῆμαι ἐδιδάσκοντο, ἐδίδαξε μέχρι τοῦ 1671—1672 ὁ πολὺς οὗτος Ἀλέξ. Μαυροκορδάτος μετὰ πολλῆς τῆς καρποφορίας καὶ ὠφελείας, οὐκ εὐαρίθμους μαθητὰς ἀναδείξας, παιδείᾳ πολλῷ διαπρέψαντας καὶ μέγα τῷ ἡμετέρῳ Ἔθνει γενομένους ὄφελος, οἷον τὸν Βησσαρίωνα, τὸν Μακρῆν τὸν ἐξ Ἰωαννίνων, Σεβαστὰν τὸν Κυμινίτην, Γεράσιμον τὸν Ἀκαρνᾶνα, σχολαρχήσαντα μετὰ ταῦτα, Δημήτριον τὸν Καντεμίρην καὶ ἑτέρους, οὓς μακρὸν ἂν εἴη νῦν καταλέγειν. Μετὰ δὲ τοῦτόν φησιν ὁ σοφὸς Κωνστάντιος ὁ Πατριάρχης ἐπὶ εἴκοσιν ἔτη τὴν τῆς Σχολῆς διδασκαλίαν σιγῆσαι· ἀλλ' ὁ ἀοίδιμος Κ. Εὐθυβούλης ἀσύμβατον κρίνων τὴν εἰς Βουκουρέστιον ἀναχώρησιν τοῦ Σεβαστοῦ Κυμινίτου, γενομένην περὶ τὰ 1689—1690, γνωματεύει αὐτὸν τοῦτον ἀναδέξασθαι τὴν διδασκαλίαν μετὰ τὸν Ἀλεξανδρον τὸν Μαυροκορδάτον· ὡς δὲ ἄλλοι, τὸν Σπαδωνῆν ἢ τὸν Βαλάσιον τὸν Χαρτοφύλακα ἢ καὶ τὸν Κυμινίτην αὐτόν· ἀλλὰ περὶ μὲν τούτου ἐξέστω ἡμῖν ἐπέχειν, ὡς μηδὲν εἰπεῖν ἔχοντας βέβαιον· ἐπὶ δὲ Πατριάρχου Καλλινίκου τοῦ Ἀκαρνᾶνος συστάσης αὖθις τῆς Σχολῆς (1690) ἐπιμελείᾳ μὲν αὐτοῦ, συνδρομῇ δὲ τοῦ ἀγαθοῦ γέροντος ἤδη Μανωλάκη, κατὰ τὸ ἐκδοθὲν τότε σιγγίλιον, ἀρχηγήσατο ταύτης ὁ τοῦ Καρυοφύλλου καὶ εἶτα Μαυροκορδάτου ἀκροατὴς Σεβαστὸς ὁ Κυμινίτης, τῶν ἐπιστημονικῶν μαθημάτων διδασκαλος· ἀλλ' ἐπ' ὀλίγον· προσκληθεὶς γὰρ ἀπῆρεν εἰς Βουκουρέστιον τῆς ἐκεῖθι Ἀκαδημίας καθηγησόμενος· τοῦτον δ' ἐν τῇ Πατριαρχικῇ Σχολῇ διεδέξατο ὁ ἐξ Ἀκαρνανίας Γεράσιμος, ὁ ἐν μὲν τῇ ἑαυτοῦ Εὐγενίου τοῦ Ἀκαρνᾶνος μαθητοῦ Κορυδαλέως ἀκροασάμενος, εἶτα δὲ καὶ τῶν ἐν Βυζαντίῳ Καρυοφύλλου τε καὶ Μαυροκορδάτου· τούτου δὲ σχολαρχοῦντος, ἐδίδασκε τὰ Γραμματικὰ καὶ Ἐγκύκλια ὁ ἐκ Ῥυσίου Διαμαντῆς, πάππος πρὸς μητρὸς Ἀδαμαντίου τοῦ Κοραῆ· μετὰ δ' ἑπτὰ ἔτη, ἀποστάντος τοῦ Γερασίμου τῆς Σχολαρχίας, συναπῆλθε μετ' αὐτοῦ καὶ ὁ Διαμαντῆς, μετὰ δὲ τοῦτον ἡγήσατο τῆς Πατριαρχικῆς Σχολῆς Ἰάκωβος Μάνας ἢ Μάνος ὁ Ἀργεῖος μετὰ διδασκάλου τῶν Γραμματικῶν καὶ Ἐγκυκλίων Καλλινίκου τοῦ Ναξίου, εἶτα δ' Ἡρακλείας μητροπολίτου· ἀνηγορεύθη δὲ καὶ ὕπατος τῶν φιλοσόφων, ἅτε δὴ σοφὸς ὢν καὶ μαθήσει παντοίᾳ διαπρεπὴς καὶ δεινὸς τῶν Ἀριστοτελικῶν δογμάτων πρασπιστής, ἔν τε Θεολογίᾳ βαθύς· παρατεῖναι δὲ λέγουσι τὴν Σχολαρχίαν μέχρι τοῦ 1721, ἀλλὰ πότε τὸν βίον μετήλλαξεν ἄδηλον· φαίνεται δὲ τότε διδάξας καὶ Ἠλίας ὁ Μηνιάτης, ἐπὶ Γαβριὴλ Πατριάρχου (1704) ἐγκαταστάς. Διάδοχος δὲ τοῦ Ἰακώβου ὁ ἀκροατὴς αὐτοῦ Λογοθέτης Γενικοῦ Ἀντώνιος ὁ Βυζάντιος (1721), ὃς πολλῆς ἂν εἴη ὠφελείας παραίτιος, εἰμὴ κομιδῇγε νέος ἐξ ἀνθρώπων ἐγένετο, κατὰ τὸν Δημήτριον Προκοπίου· μετ' αὐτὸν δ' ἀνεδέξατο τὴν Σχολὴν ὁ ἐπ' ἀκροάσει τῶν ἐν Παταβίῳ σοφῶν ἀπελθὼν ἐπ' ὀλίγον χρόνον αὐτάδελφος τούτου Χουρμούζιος, ἀλλὰ καὶ οὗτος ἐντεῦθεν ἀώρως ἀπῴχετο. Μετὰ δὲ τούτους ἐν νεότητι μεταστάντας τῶν τῆδε, προέστη τῆς Σχολῆς ὁ ἀκροατὴς Καρυοφύλλου καὶ Ἀλεξάνδρου μέγας Χαρτοφύλαξ γέρων ἤδη, ἀποβιώσας τῷ 1726, ὅστις, κατὰ τὸν Δημήτριον Προκοπίου, ἐδίδαξε καὶ πρὸ τοῦ 1721· ἤδη δὲ τὸ δεύτερον φαίνεται σχολαρχῶν, μεθ' ὃν ἡγήσατο τῆς Σχολῆς Δωρόθεος ὁ Λέσβιος, ἀκροατὴς Ἰακώβου, ὁ καὶ Πρωτοσύγκελλος· ἐφ' ὅσον δὲ τὰ τῆς διδασκαλίας παρέτεινε καὶ πότε καὶ ποῦ ἀπεβίω καὶ ὁ σοφὸς οὗτος Καθηγητής, οὐδεὶς οὐδὲν εἴρηκε. Μετὰ δὲ τοῦτον διεδέξατο τὴν Σχολὴν Ἰωάννης ὁ Λέσβιος ὁ καὶ Τζανῆς (ἐξ οὗ οἱ Τζανέταί Φαναριῶται) ἀκροατὴς Ἰακώβου, φιλόσοφος περιπατητικὸς μετὰ διδασκάλου τῶν Γραμματικῶν Ἀζαρίου Τζιγάλα ἐκ Θήρας, ὁ καὶ τὸν τίτλον τῶν φιλοσόφων εἰληφὼς καὶ τῷ μεγάλου Πριμικηρίου τετιμημένος ἀξιώματι· διέπρεψε δὲ σχολαρχῶν μέχρι τοῦ 1734, ὅτε νοσήσας ἀπεχώρησεν· ὃν διεδέξατο Ναθαναὴλ ὁ Κλονάρης ἐκ Χίου Ἱερομόναχος μέχρι τοῦ 1739 ἀρατείνας, ὅτε καὶ Ἀρχιερεὺς Ἀγχιάλου ἐγένετο, εἶτα δὲ καὶ Ἡρακλείας· μετὰ δὲ τοῦτον καθηγήσατο τῆς Σχολῆς τῷ 1739 ὁ μέγας κΕκκλησιάρχης καὶ γραμματεὺς τοῦ Πατριαρχείου Νικόλαος ὁ Κρητίας ἐκ Προύσης, ἀκροατὴς Ἰακώβου τοῦ Ἀργείου καὶ Ἀντωνίου τοῦ Βυζαντίου, ἀνὴρ πολυμαθής, περιπατητικὸς καὶ βαθὺς ἐν τοῖς Ἐκκλησιαστικοῖς μετὰ

διδασκάλου τῶν Ἐγκυκλίων Γεωργίου τοῦ Βυζαντίου περὶ τὰ δώδεκα ἔτη σχολαρχήσας· ὃς διά τι σκάνδαλον ἀναφυὲν τῇ Ἐκκλησίᾳ ἐν Βιθυνίᾳ κατὰ τὸ 1751 ἀπέστη· ἐτελεύτησε δὲ κατὰ Μάρτιον (1767)· τοῦτον δ' αὖ διεδέξατο ἐν ἔτει 1752 Ἀνανίας ὁ Ἀντιπάριος ἀκροατὴς Δωροθέου τοῦ Λεσβίου, δεινὸς περὶ τὴν Γραμματικήν, πολύφυλλον συντάξας βιβλίον τὸ περὶ μορίων τῆς Ἑλληνικῆς γλώσσης ἀξιόλογον, Σπλάγχνον Γραμματικῆς ἐπιγραφόμενον, ὅτε ἡ Σχολὴ ἐκαλεῖτο Ἀκαδημία· παρέτεινε δὲ διδάσκων τὰ Γραμματικὰ καὶ Ἐγκύκλια μέχρι τοῦ 1759· ὅτε ἀπὸ τῆς Ἀθωνιάδος Σχολῆς ὁ πολὺς τὴν σοφίαν κλεινὸς Εὐγένιος παρὰ τοῦ τότε Πατριάρχου Σεραφεὶμ ἀποκατέστη διδάσκαλος τῶν Φιλοσοφικῶν κατὰ τὰς νεωτέρας θεωρίας καὶ τῶν λοιπῶν ἐπιστημῶν διὰ Συγγιλιώδους γράμματος, ἐκδοθέντος τῷ 1760. Ἀλλὰ φεῦ! ἐπὶ μῆνας ἑπτὰ πρὸς τοῖς δέκα μόνον ἐδίδαξεν, ἀναγκασθεὶς ἀποστῆναι διὰ λόγους εὐλόγους, ὧν μνημονεύει ὁ σοφὸς Πατριάρχης Κωνστάντιος· ἀφαιρεθείσης δὲ τῆς Σχολῆς τὸν ἄνδρα καὶ τὰ κατ' ἐκλεκτικὴν μέθοδον Φιλοσοφικὰ καὶ Ἐπιστημονικὰ τῶν μαθημάτων, καθηγήσατο ταύτης εἰς τὰ Γραμματικὰ καὶ Ἐγκύκλια Γεώργιος ὁ Βυζάντιος, ὁ καὶ πρότερον μετὰ τὸν Ἀνανίαν διδάξας Κριτίου ἀκροατής· τούτου δὲ διάδοχος τῷ 1765 Παναγιώτης ὁ Βυζάντιος, καὶ αὐτὸς Κριτίου ὁμιλητής· ὅστις τὸ τῶν Μοναχῶν σχῆμα ὑποδὺς καὶ Προκόπιος μετονομασθείς, εἰς τὸ τῆς Ἀρχιερωσύνης ἦρθη ἀξίωμα, μητροπολίτης Εὐρίπου γενόμενος· τοῦτον δὲ διεδέξατο Ἰωακεὶμ ὁ Ἀντιπάριος, ἀλλὰ καὶ οὗτος κατὰ μίμησιν τῶν πρὸ αὐτοῦ (ὡς φησιν ὁ σοφὸς Κωνστάντιος) εὗρε τὸ κατὰ θυμὸν μητροπολίτης Ἀγχιάλου γενόμενος, καὶ μετὰ χρόνους αὖθις Κυζίκου· μετὰ δὲ τοῦτον προέστη τῆς Σχολῆς ὁ Βιζύης Γεράσιμος, μετακληθεὶς ἀπὸ τῆς Ἐπαρχίας παρὰ τοῦ Πατριάρχου Σαμουήλ, ἀνὴρ ἱκανὸς περὶ τὴν πάτριον φωνὴν καὶ πολιτείας ἀμέμπτου καὶ βίου καθαρωτάτου· μετὰ δὲ τοῦτον ἀνεδέξατο τὰ πρὸς διδασκαλίαν τῶν Γραμματικῶν καὶ τῶν Ἐγκυκλίων, ἐν ἔτει 1770, Χρύσανθος ὁ Αἰτωλός· τοῦτον δ' ἀποχωρήσαντα διεδέξατο ἐν ἔτει 1774 Ἠλίας ὁ Κύπριος, Κριτίου ἀκροατής· κατὰ δὲ τὸ 1775, ἢ μᾶλλον 1777, παρὰ τὴν Πατριαρχικὴν Σχολὴν συνέστη καὶ ἑτέρα αὖθις τῶν Φιλοσοφικῶν μαθημάτων ἐν ἰδιαιτέρᾳ οἰκίᾳ ἐπὶ Πατριάρχου Σωφρονίου τοῦ ἀπὸ Ἱεροσολύμων· ἧς ἡγήσατο μέχρι τοῦ 1790 Σέργιος ὁ Μακραῖος ἐξ Ἀγράφων, ὁ τοῦ Εὐγενίου ἀκροασάμενος· τῆς δὲ Πατριαρχικῆς Σχολῆς, ὡς ἔστιν οὐκ ἀπιθάνως εἰκάσαι, εἰς τὸν τῶν Γραμματικῶν κύκλον συστελλομένης, προέστη Ἠλίας ὁ Κύπριος (1774—1777)· ὃν ἀποστάντα διὰ τὸν ἐνσκήψαντα τότε λοιμὸν διεδέξατο Ἀρσένιος ὁ ἐκ Σηλυβρίας Ἱερομόναχος, ἀκροατὴς καὶ αὐτὸς Κριτίου, μεθ' ὑποδιδασκάλου τοῦ Βασιλείου, παρέτεινε δὲ σχολαρχῶν μέχρι τοῦ 1784. ὅτε νοσήσας ἀπέστη. Μετὰ δὲ τοῦτον αὖθις ἀνεδέξατο τὴν Σχολὴν Ἠλίας ὁ Κύπριος, μετὰ δὲ δύο ἔτη ὑπὸ γήρως τὴν Σχολαρχίαν ἀποθεμένου, κατέστη διδάσκαλος τῶν Γραμματικῶν καὶ τῶν ἄλλων ὁ ἐκ

Γανου καὶ Χώρας Ἱερομόναχος Ματθαῖος· ὅστις, τριῶν ἐτῶν διαγενομένων, ἀπεχώρησε τῆς Σχολῆς καὶ ἐπανελθὼν εἰς τὴν ἑαυτοῦ, διετέλεσε σχολαρχῶν ὡς καὶ πρότερον· τῷ δὲ 1790 ἔτει διαλυθείσης τῆς Φιλοσοφικῆς Σχολῆς, ὁ ταύτης προϊστάμενος Σέργιος μετέβη εἰς τὴν Πατριαρχικὴν ὡς Σχολάρχης (1790—1793) μετὰ διδασκάλου τῶν Γραμματικῶν τοῦ Θεοδοσίου καὶ τρίτου διδασκάλου τοῦ Δημητρίου (1793—1797). Μετὰ δὲ τοῦτον προέστη τῆς Σχολῆς ὁ Λογοθέτης Γενικοῦ καὶ μέγας γραμματεὺς τοῦ Πατριαρχείου, ἐκ Κύπρου ὁρμώμενος, ἀκροατὴς Κριτίου καὶ Ἀνανίου Φώτιος, διδάσκων τὰ Γραμματικὰ καὶ Ἐγκύκλια ἐφ' ἱκανὰ ἔτη· τῷ δὲ 1797—1798 ἓξ μνημονεύονται διδάσκαλοι, δύο μὲν πρῶτοι (ἴσως φιλόσοφος καὶ μαθηματικὸς) Μακάριος καὶ Ματθαῖος, δύο δεύτεροι (ἴσως τῶν Γραμματικῶν) Μακάριος καὶ Γαβριὴλ, καὶ δύο τρίτοι (ἴσως τῶν ἐλασσόνων τάξεων) Δαμασκηνὸς καὶ Ἀνανίας. Οὕτως οὖν ἡ Πατρ. καὶ Μ. τοῦ Γ. αὕτη Σχολὴ καὶ μετὰ τὴν τῶν πραγμάτων ἀνατροπὴν καὶ κατάλυσιν οὐκ ἐπαύσατο προαγομένη καὶ καρποὺς ἀγλαοὺς ἀποφέρουσα μέχρι τῆς ΙΘ'. ἑκατονταετηρίδος· ὅτε (1804) ἡ περὶ τὰ καλὰ καὶ γενναῖα φιλοτιμία καὶ ζῆλος τῶν τοῦ Ἔθνους λογάδων Φαναριωτῶν, μετοικησάντων εἰς τὰ κατὰ τὸν Βόσπορον χωρία, ἰδίᾳ δὲ Δημητρίου τοῦ Μουρούζη καὶ τοῦ Κλήρου παντός, ἐγκαθίδρυσατο τὴν κατὰ Ξηρὰν Κρήνην Σχολὴν (μενούσης καὶ τῆς ἐν Φαναρίῳ προκαταρκτικῆς) ἐν τῷ πρότερον οἴκῳ τοῦ Ἡγεμόνος Ἀλεξάνδρου Μαυροκορδάτου, καλουμένην Πατριαρχικὴν Μεγάλην τοῦ Γένους Σχολὴν, Κοινὴν τοῦ Γένους Σχολὴν καὶ Πάγκοινον τοῦ Γένους Σχολὴν καὶ Πατριαρχικὴν Πάγκοινον καὶ Μεγάλην Σχολὴν τοῦ Γένους καὶ Μουσεῖον, καὶ μέγα τοῦ Γένους Μουσεῖον· ἧς ἀνεδείχθη Σχολάρχης τῶν τε Φιλοσοφικῶν καὶ Ἐπιστημονικῶν ὁ ἐκ Χίου Δωρόθεος ὁ Πρώϊος, Ἀρχιμανδρίτης τοῦ Οἰκουμενικοῦ θρόνου, ὁ ἐν Ἰταλίᾳ καὶ Γαλλίᾳ τὰς νεωτέρας τῶν θεωριῶν ἀρυσάμενος καὶ παντοδαπῆ μαθήσει κοσμούμενος· ὅς γε κατὰ τὸ 1805, ὀκτωβρίου 12, καὶ εἰς τὸ τῆς Ἀρχιερωσύνης ἀξίωμα προαχθεὶς καὶ μητροπολίτης Φιλαδελφείας γενόμενος, διετέλει ὅμως διδάσκων μέχρι τέλους τοῦ 1807· ἔδει γάρ, κατὰ τὰ συγκείμενα αὐτῷ πρὸς τὸν Πατριάρχην καὶ προΐοντας, τέλος ἔχειν τὴν τῶν Ἐπιστημονικῶν μαθημάτων περίοδον· ἧς πέρας εἰληφυίας, ἀπῆλθεν εἰς τὴν ἑαυτοῦ ποίμνην, καταλιπὼν πρὸς καιρὸν τῶν μαθητῶν τινα, (ὡς φησι Κ. ὁ Κούμας), οὗ τὸ ὄνομ' ἀγνοεῖται, «ἕως ἂν εὑρεθῇ ὁ ἁρμόδιος καὶ ἄξιος τὴν Σχολὴν ἀναδέξασθαι»· κατὰ δὲ τὸ 1809 Σχολάρχης καθίσταται Στέφανος ὁ Δούγκας· ἀλλὰ καὶ οὗτος μετὰ ἐνιαυτὸν (1810) ἀπεχώρησε τῆς Σχολῆς· ὅστις δὲ ἦν ὁ διαδεξάμενος τοῦτον εὐθὺς, ἄδηλον ἔμοιγε μὴ δυνηθέντι ἐν γοῦν τῷ παρόντι, καίπερ οὐ μικρὰν ποιησαμένῳ τὴν ζήτησιν, σαφές τι εὑρεῖν καὶ ὁμολογούμενον. Ἴσως δ' ἂν εἴη Ἰωάννης ὁ Παλαμᾶς, ὃν φησι Κωνστ. ὁ Σάθας ἐν τῇ πρὸμικροῦ ἐκδοθείσῃ Νεοελληνικῇ Φιλολογίᾳ σχολαρχῆσαι ἐν Κωνσταντινουπόλει μέχρι τοῦ 1812· καὶ γὰρ οὗτος συγκαταλέγεται

τοῖς ἐν τῇ Μεγάλῃ τοῦ Γένους Σχολῇ διδάξασι παρ' ἄλλων, οὐχ ὁριζόντων τὸν χρόνον ἐπ' ἀκριβές· μετὰ δε τοῦτον οὐκ ἀπιθάνως ἡγοῦμαι προστῆναι τῆς Σχολῆς Νικόλαον τὸν Λογάδην, διδάσκοντα τὰ Γραμματικὰ καὶ Ἐγκύκλια ἐκ τῶν ἐφεξῆς. Κληθεὶς γὰρ ὁ Κ. Κούμας ἐκ Σμύρνης περὶ τὰ τέλη τοῦ 1813 ἀναλαβεῖν τὴν τῶν Μαθηματικῶν καὶ τῆς Φιλοσοφίας διδασκαλίαν καὶ ἐλθὼν περὶ μέσον Μάϊον (1814) εἰς Κωνσταντινούπολιν, εὗρεν (ὡς φησιν αὐτὸς) ἐκεῖ διδάσκοντα τὴν Ἑλληνικὴν Νικόλαον τὸν Λογάδην· ὥπερ ἐπετράπη (φησὶ) τῆς Σχολῆς ἀποστῆναι, ἵν' οὕτω ῥᾷον αὐτῷ γένοιτο τὰ κατὰ τὴν σύνταξιν τῆς Κιβωτοῦ καὶ διόρθωσιν· ὅτε δὴ καὶ ἡ τῶν Γραμματικῶν διδασκαλία ἀνετέθη τῷ Κ. Κούμᾳ· ἀλλὰ καὶ οὗτος μετὰ ἐνιαυτὸν (1815), ἀρχομένου Αὐγούστου, ἀπολυθεὶς τῆς Σχολαρχίας, ἀπῆρεν αὖθις εἰς Σμύρνην· μετὰ δὲ τοῦτον φαίνεται διδάξαι ἐν τῇ Σχολῇ Σέργιος ὁ Μυστάκης μέχρι τοῦ 1817, ὃς ἔπειτ' ἀπῆλθεν εἰς Βλαχίαν· μετὰ δὲ τοῦτον μνημονεύεται ὁ Ἀρχιμανδρ. Παρθένιος, μεθ' ὃν προσεκλήθη ἐξ Ἰασίου Γεώργιος ὁ Θεραπειανός· ἀλλὰ μέχρι τοῦ 1820 τίς τούτων πρῶτος καὶ ἐπὶ πόσον διετέλεσε σχολαρχῶν οὐκ ἔχω λέγειν. Ἐν τούτοις δὲ μνημονεύονται Κωνσταντῖνος Ψωμάκης, Παΐσιος Καραπατᾶς καὶ ἄλλοι παρ' ἄλλων, ὧν τῆς διδασκαλίας ὁ χρόνος καὶ ἡ διάρκεια καθάπαξ ἠγνόηται· πολλὰ γὰρ ἐξετάσας καὶ πολλῶν πυθόμενος, παρ' ὧν ἠγούμην μαθεῖν, οὐδέντι μᾶλλον ἠκρίβωσα. Κατὰ δὲ τὸ 1820 ἡ Μ. Ἐκκλησία μετεκαλέσατο Γρηγόριον τὸν Σαράφην ἐκ Κυδωνιῶν, ἔνθα ἐν τῷ φροντιστηρίῳ τότε σχολαρχῶν ἦν, ἐφ' ᾧ τὰ τῆς Σχολῆς ἀναδέξασθαι· ὃς δὴ παραγενόμενος εἰς Κωνσταντινούπολιν καὶ ἀποποιησάμενος, αἰτίας εὐλόγους γε προϊσχόμενος, συνίστησι τὸν φίλον αὐτοῦ καὶ δοκιμώτερον τῶν μαθητῶν νεωστὶ ἀφιγμένον ἐνθάδε καὶ ἔν τινι οἴκῳ τοῦ Φαναρίου διδάσκοντα, τὸν Ἱερομόναχον Σαμουὴλ τὸν Κύπριον, ἄνδρα τῇ τε ἔσω παιδείᾳ καὶ θύραθεν διαπρέποντα καὶ τῇ κατὰ Χριστὸν πολιτείᾳ καὶ ἀρετῇ πολλῷ πολλῶν διαφέροντα καὶ φιλοπονώτατον. Ἐγκαταστὰς οὖν Σχολάρχης ἐδίδασκεν ἅμα τὰ Γραμματικὰ καὶ Ἐγκύκλια μετ' ἄλλων δύο διδασκάλων ἐν τῇ κατὰ Ξηρὰν Κρήνην Σχολῇ μέχρι τοῦ 1825· ὅτε δὴ διὰ λόγους οὐκ ἀγνώστους ἡμῖν τῷ αὐτῷ ἔτει κατὰ Ὀκτώβριον μετατεθεὶς ἐνταῦθα τῆς Σχολῆς εἰς Φανάριον, ἐδίδασκεν οὕτως παρατείνας μέχρι τοῦ 1830· οὗ κάμοὶ προσήκῳ τότε διακοῦσαι ἐπὶ διετίαν κὐτύχηται· περὶ γὰρ τὸ τέλος τοῦ αὐτοῦ Σωτηρίου ἔτους, μηνὶ Ὀκτωβρίῳ, εἰς τὴν τῆς Μητροπόλεως Προκοννήσου θρόνον ἀρθέντος παρὰ τοῦ ἁγιδίμου Πατριάρχου Κωνσταντίου τοῦ Α΄., Σχολάρχης αὖθις ἀναδείκνυται Νικόλαος ὁ Λογάδης, διδάσκων τὰ Γραμματικὰ καὶ Ἐγκύκλια μετ' ἄλλων δύο διδασκάλων, ἀνὴρ καλὸς κἀγαθὸς καὶ ἄριστα περὶ τοὺς τεχνικοὺς λόγους ἐγγεγυμνασμένος καὶ περὶ τὴν πάτριον φωνὴν ἱκανώτατος, Φιλοσοφίας τε καὶ Μαθηματικῶν ἔμπειρος, βαθὺς τὴν Θεολογίαν καὶ οὐδενὸς τῶν καθ' ἑαυτὸν ὕστερος, μαθητὴς

μὲν ἐν τοῖς Θεολογικοῖς Ἀθανασίου τοῦ Παρίου γενόμενος, ἐν δὲ τοῖς Μαθηματικοῖς τοῦ γέροντος Τζελεπῆ ἐν Χίῳ, καὶ Δωροθέου τοῦ Πρωΐου ἐν Φιλοσοφίᾳ), οὗ δὴ κἀγὼ ἐπὶ τριετίαν ἀκροασάμενος, εἰς πέρας ἦκον τῶν παρ' αὐτοῦ τότε διδασκομένων. Ἀλλὰ φεῦ! κακῇ μοίρᾳ, νόσῳ βαρείᾳ καὶ ἀνηκέστῳ πληγεὶς πρωΐρως τὸν βίον μετήλλαξε κατὰ τὸ 1835, ἀρχομένου μηνὸς Σεπτεμβρίου· τότε δὲ δὴ ἐπὶ τὸν τῆς Πατριαρχείας θρόνον ὁ ἀπὸ Σερρῶν Γρηγόριος ὁ ἔκτος ἀναβὰς καινῇ γνώμῃ καὶ ψήφῳ παντὸς τοῦ Κλήρου καὶ τοῦ λαοῦ, ὁ καὶ νῦν τὰ τῆς Ἐκκλησίας εὐκλεῶς διιθύνων, μεταπεμψάμενος κατὰ τὸ 1836 τὸν Σαμουὴλ μητροπολίτην ἤδη Μεσημβρίας, πρὸ ἑνὸς ἔτους μετατεθέντα ἐν αὐτῇ, ἐγκατέστησεν αὖθις Σχολάρχην τῆς Μ. τοῦ Γένους Σχολῆς, μετατεθεὶσης πάλιν εἰς τὴν Ξηρὰν Κρήνην, συνδρομῇ καὶ σπουδῇ τοῦ περιφανοῦς ἐκείνου ἀνδρὸς τοῦ Μ. Λογοθέτου τοῦ Ἀριστάρχου, μενούσης ἅμα καὶ τῆς ἐνταῦθα Προκαταρκτικῆς. Συμπαρελήφθη δὲ διδάσκαλος τῶν Γραμματικῶν παρὰ τοῦ Σαμουὴλ Κωνσταντῖνος ὁ Εὐθυβούλης, ἀκροατὴς μὲν αὐτοῦ πρότερον, εἶτα δὲ τοῦ ἁγιδίμου Ν. τοῦ Λογάδου τῶν δοκιμωτέρων, ἐντριβὴς τῇ Ἑλληνικῇ καὶ εὖ παρεσκευασμένος περὶ τὴν Ἐγκύκλιον μάθησιν, ἐπιμελής τε καὶ φιλόπονος ἐν τοῖς μάλιστα. Ἐπειδὴ δ' οὗτος, κατὰ τὸν ἐνόντα πόθον αὐτῷ, δαπάνῃ τῆς Μ. Ἐκκλησίας ἀπεδήμησεν εἰς Εὐρώπην (κατὰ τὸ 1839) τελεωτέρων μαθημάτων ἀψόμενος, ἐπ' ἀγαθῷ δήπου καὶ ὠφελείᾳ τοῦ Ἔθνους, ἡ Μ. Ἐκκλησία, προτροπῇ καὶ συστάσει τοῦ ἀειμνήστου Σαμουήλ, μετεκαλέσατο τὸν ἐκ τῆς Λίνου διδάσκοντα τότε Ἰωάννην τὸν Φιλαλήθη, τὸν ἐλλόγιμον καὶ φίλον νῦν ἡμῖν συγκαθηγητήν, ἀκροατὴν μὲν τοῦ Ν Λογάδου καὶ Σαμουήλ, εἶτα δὲ καὶ εἰς τὸ τῆς Ἑλλάδος Πανεπιστήμιον φοιτήσαντα, ἐγκρατῆ τῆς πατρίου φωνῆς καὶ Φιλολογίας, Λατινικῆς τε καὶ Γαλλικῆς. Μαθηματικῶν τε καὶ Φιλοσοφίας οὐκ ἄπειρον. Ὅσπερ ἀφικόμενος ἐνθάδε καὶ τὴν τῶν Γραμματικῶν διδασκαλίαν, τῆστε Γεωγραφίας καὶ τῶν στοιχειωδῶν Μαθηματικῶν εἰσαχθέντων ἤδη προθύμως ἀναδεξάμενος, ἀνεκούφισεν ἀπὸ τοῦ πολλοῦ βάρους τῶν μαθημάτων τὸν ἤδη γηραιὸν αὐτοῦ διδάσκαλον Σαμουήλ, διδάσκοντα τότε τὴν Φιλοσοφίαν, Ῥητορικὴν καὶ Θεολογίαν, παραληφθέντος καὶ ἑτέρου διδασκάλου τῶν ἐλασσόνων τάξεων. Ἐν τούτῳ δ' εἰσήχθη εἰς τὴν Σχολὴν ἡ Ἱστορία, τὰ Λατινικὰ (ὧν διδάσκαλος ἦν ὁ γηραιὸς καὶ πολυίστωρ Σ. Βίλκιος)· ἡ Γαλλικὴ καὶ ἡ Φυσικὴ (ὑπὸ τοῦ Ν. Κοντογούρη διδασκόμεναι), καὶ δὴ ὁ τῶν μαθημάτων κύκλος κατέστη εὐρύτερος. Ὡς δὲ καὶ ὁ Κ. Εὐθυβούλης ἐπεδήμησεν ἐξ Εὐρώπης νομίζων ἡμῖν εἴ τι καλὸν κἀγαθὸν σοφίας καὶ ἐπιστήμης ἐχόμενον, τὴν τῶν ὑψηλοτέρων Μαθηματικῶν διδασκαλίαν καὶ μετὰ ταῦτα τὴν τῆς Φιλοσοφίας ἀνέλαβεν, εὐμεθόδως πάνυ καὶ μετὰ σπουδῆς ἀνενδότου καὶ φιλοτιμίας διδάσκων τὴν ὀργῶσαν νεότητα, λαμπρὸν τὸ μέλλον ὑπέφαινε τῇ Σχολῇ, ἀρξαμένῃ ἐπὶ τὰ μείζω χωρεῖν καὶ προάγεσθαι. Ἀνατεθείσης δὲ καὶ τῆς Ῥητορικῆς Ἰ. τῷ Φιλαλήθει, ὁ Σαμουὴλ διετέλει τότε σχολαρχῶν

καὶ τὴν Θεολογίαν διδάσκων, ἄχρις οὗ (κατὰ τὸ 1847), ἀποστὰς διὰ γῆρας τῆς Σχολαρχίας, διῆγε καθ' ἡσυχίαν ἀπὸ τῶν μαθημάτων σχολάζων· ὃς μέχρι τοῦ 1855 παρατείνας τὸ ζῆν ἀπηλλάγη τῶν τῇδε.

Μετὰ δὲ ταῦτα τῶν κατὰ τὴν Σχολὴν ἄλλως ἤδη διωκημένων, τῶν δὲ μαθημάτων διανενεμημένων ἑκάστῳ τῶν διδασκάλων κατὰ τὸ προσῆκον, ἐγκαθίσταντο ἐπιμεληταὶ καὶ ἐπόπται Ἀρχιερεῖς περὶ τὴν τάξιν καὶ εὐκοσμίαν καὶ τὴν ἄλλην διοίκησιν ἀσχολούμενοι, διδασκαλίας δὲ πάσης ἀπηλλαγμένοι· μέχρι οὗ διὰ λόγους γνωρίμους ἡμῖν ἡ Σχολὴ περὶ τὰ τέλη τοῦ 1849 μετετέθη πάλιν αὖθις ἐνταῦθα· ὅπως δ' ἐξ ἐκείνου εἰς δεῦρο ἔσχε τὰ κατ' αὐτήν, οὐδεὶς, οἶμαι, τοῦτ' ἀγνοεῖ. Ὅθεν δὴ περιττὸν ἂν εἴη περὶ τούτων ἤδη φανερῶν ὄντων διεξιέναι, ἄλλως τε καὶ μακροτέρας δεομένων τῆς ἀφηγήσεως ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν τοῦ λόγου καὶ πρόθεσιν· διὸ νῦν εἰς τοσοῦτον εἰρήσθω μοι. Οὕτω μὲν νῦν ἡ Μ. τοῦ Γένους αὕτη Σχολή, τοσούτων ἐτῶν διαγενομένων ἐν ὥραις χειμερίαις καὶ καιροῖς χαλεποῖς καὶ τὴν ἐπὶ πάντα μεταβολὴν ἀγχίστροφον ἔχουσι, περιεσώθη μέχρι τῶν καθ' ἡμᾶς χρόνων, διαδοχῇ μετὰ τῆς περιλειφθείσης πατρῴας ἡμῖν οὐσίας ἀκραιφνὴς καὶ ἀλώβητος. Οὗ χάρις ἀίδιος καὶ εὐγνωμοσύνη τῇ τε μητρὶ ἡμῶν Ἐκκλησίᾳ ὀφειλεται· ἣ γ' οὐδεπώποτ' ἐπαύσατο κατὰ τὸ δυνατὸν τὰς Μούσας εὖ περιέπουσα καὶ τῆς τῶν ἑαυτῆς τέκνων σωτηρίας καὶ εὐδαιμονίας διηνεκῶς κηδομένη· τοῖς τε μακαρίοις ἐκείνοις θεράπουσι τῶν Μουσῶν καὶ θείοις ἱεροφάνταις, τοῖς ὑπὲρ τῆς τοῦ Ἔθνους προόδου καὶ δόξης ἔργῳ τε καὶ λόγῳ μετὰ προθυμίας ἀκνοτάτης ἀγωνιζομένοις καὶ μοχθοῦσι διὰ παντός, οὐδ' ὁπωστιοῦν ἀποδειλιῶσιν ἢ ἀποδυσπετοῦσι πρὸς τὰ ἐναντία τῶν συμβαινόντων, ἀλλὰ μετὰ θαυμαστῆς καρτερίας ἐπειγομένοις ἐπὶ τὸν σκοπὸν ἀεὶ καὶ ἀνύτουσι. Ταῦτα δὲ πάντας ἡμᾶς ἀναλογιζομένους καλῶς καὶ ἀνασκοποῦντας, Π.Δ. ὅτε οὐ χειμὼν ἄγριος οὐδὲ καταιγίδες καὶ λαίλαπες ἐπισκήπτουσαι λάθροι μαίνονται οὐδὲ νέφη πυκνὰ καὶ σκότος ἐπηλυγάζει,

«ἀλλὰ μάλ' αἴθρη
πέπταται ἀνέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη»·

χρὴ πάντα ποιοῦντας καὶ μηδενὸς ἀπολειπομένους, ὧν δεῖ, πειρᾶσθαι λόγῳ τε καὶ ἔργῳ καὶ παντὶ σθένει συνδιατηρεῖν ταύτην ἀσφαλῶς καὶ διαφυλάττειν, ὡς ἄχρι τούτου θεία τινὶ μοίρᾳ ἐγίγνετο. Οὐ μὴν δ' ἄλλ' ὅ δίκαιον καὶ πρὸς τῆς ἡμετέρας δόξης ἐστὶν αὔξειν καὶ μεγαλύνειν αὐτήν, ἐνθυμουμένους, ὅτι τὸ ἡμέτερον Ἔθνος ἦν ὅτε ἀκμάζον ἦν σοφίᾳ πάσῃ καὶ τέχναις, νόμοις καὶ ἐπιστήμαις. ὧν καὶ τοῖς ἄλλοις μετέδωκε καὶ ἐπαίδευσε καὶ ἐπὶ μέγα προήγαγε· καὶ δὴ νῦν εἴπερ ποτὲ καιρὸς ἥκει κατεπείγων, ἄλλως τε τῶν περὶ ἡμᾶς ἐθνῶν ἀνεπισχέτως ὀργώντων πρὸς πᾶσαν παιδείαν καὶ πρόοδον καὶ ἀντεπεξιόντων οἷον ἐκθύμως καὶ διαμιλλωμένων περὶ παντός, ἀνακτήσασθαι τὰ πατρῷα πάντα πάλιν καὶ ἀνασώσασθαι, πᾶσάν τε σπουδὴν καὶ φιλοτιμίαν καταβαλλομένους, ὅπερ εἴθισται μάλιστα τῷ ἡμετέρῳ Ἔθνει ἀεὶ καὶ πρέπον ἐστὶν

«αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων,
«μηδὲ γένος πατέρων αἰσχυνέμεν, οἵ μέγ' ἄριστοι».

Ὅτι δὲ ταῦτα οὐ λόγων κόμπος μᾶλλον ἐστὶν ἢ ἔργων ἀλήθεια σύμπασα ἡ Ἱστορία καὶ τὰ πράγματα πανταχόθεν περιφανῶς ἐπιμαρτυρεῖ· καίτοιγ' εἰμὴ τοῦθ' ἡμῖν περιγένοιτο, ἐν αἰτίᾳ δῆ πάντως ἐσόμεθα ὡς τὴν τῶν πατέρων ἀξίωσιν ἀφανίζοντες. Δικαιοῦσι γὰρ κατὰ τὸν ἄριστον τῶν συγγραφέων οἱ ἄνθρωποι αἰτιᾶσθαι τὸν μαλακίᾳ τῆς ὑπαρχούσης δόξης ἐλλείποντα. Ἀντιληπτέον τοίνυν τῶν πραγμάτων, Π. Δ. προθυμότερον, ἄλλως τε οὐδ' ἐῤῥωμένων, οὐδ' εὐροούντων, εἴ τις αὐτοῖς ὀρθῶς τὸν νοῦν ἐπιστήσειε, καὶ ἀνθεκτέον ἰσχυρῶς τῆς πατρῴας σοφίας τε καὶ παιδεύσεως, μηδ' ὁπωστοῦν ἀποκνοῦντας πρὸς τὰ παρεμπίπτοντα δυσχερῆ, πίστει καὶ γνώμῃ χρωμένους, συντελοῦντας δ' ἑτοίμως καὶ εἰσφέροντας τὸ καθ' ἑαυτὸν ἕκαστον εἰς τὴν τοῦ Ἔθνους αὔξην καὶ προκοπήν, ἄρχοντάς τε καὶ ἀρχομένους, πλουσίους καὶ πένητας, νέους καὶ γέροντας καὶ πᾶσαν τάξιν καὶ ἡλικίαν, ὡς ὁ λόγος αἱρεῖ καὶ συμφέρον ἐστίν· ἵν' οὕτω τά τε παρόντα βέλτιον ἡμῖν γένηται σχεῖν καὶ εἰς τὸ μέλλον λαμπρὸν πρᾶξαι ἄμεινον καὶ ὅπως ἐφικόμενοι τοῦ σκοποῦ καὶ καταλαβόντες ἐν ᾗ τετάχθαι προτήκει ἄξια τῆς τῶν προγόνων ἡμῶν ἀρετῆς καὶ δόξης ἀποδεικνύμενοι, δικαίως ἔχωμεν λέγειν πρὸς ἅπαντας ἕκαστος.

«Ταύτης τι γενεῆς καὶ αἵματος εὔχομαι εἶναι».

Οὐ μὴν ἀλλὰ τούς τε φιλίως ἡμῖν ἔχοντας ἂν εὐφράναιμεν τούς τε πολεμίως φιμώσαιμεν, ἢ μᾶλλον, καὶ τούτους ἐπαινεῖν καὶ θαυμάζειν ἡμᾶς ἀναπείσαιμεν· οἶδε γὰρ καὶ πολέμιος θαυμάζειν ἀνδρὸς ἀρετήν. Ἔσται δὲ ταῦτα πάντα ἡμῖν τὸ φιλότιμον μετὰ τοῦ δραστηρίου ἔχουσι καὶ πονεῖν αἱρουμένοις καὶ μηδενὸς τῶν δεόντων ὀλιγωροῦσι· πάντα γὰρ τῶν πόνων πωλεῖται ἡμῖν τ' ἀγαθά, καὶ οὐδέν, ὅπερ οὐ τῷ πόνῳ καὶ τῇ ἐπιμελείᾳ δήπου ἁλωτὸν γίγνεται· δεῖ δὲ διὰ ταχέων βοηθῆσαι τοῖς πράγμασι καὶ μετὰ προθυμίας συνάρασθαι, μηκέτι διαμέλλοντας καὶ ὑπερτιθεμένους, καὶ οὐχ ἥκιστα τὴν τῶν περὶ ἡμᾶς ἁπάντων μεγίστην δὴ κίνησιν ὁρῶντας ἐπιστρεφεῖς εἶναι λίαν τῷ καιρῷ τὴν γνώμην προσέχοντας μονονουχὶ φωνὴν ἀφιέντι καὶ λέγοντι.

«Οὐχ ἕδρας ἔργον, οὐδ' ἀμβολᾶς,
«ἀλλὰ χρυσαιγίδος Ἰτωνίας
«χρὴ παρ' εὐδαίδαλον ναὸν
«ἐλθόντας, ἀθρόν τι δεῖξαι».

—

Συντελεσθέντος δὲ τοῦ λόγου, ἤρξαντο εὐθὺς αἱ ἐξετάσεις τῶν μαθητῶν κατὰ τὸ Πρόγραμμα τῶν δημοσίων ἐξετάσεων, ὅπερ, κατὰ τὸν κανονισμὸν τῆς Σχολῆς, ἐγκαίρως συνελθὼν ὁ Καθηγητικὸς Σύλλογος καὶ συντάξας διὰ τοῦ τύπου ἐξέδοτο καὶ εἰς οὓς ἔδει διένειμε (ὅρ. τοῦτο κατόπιν ὑπὸ στοιχ. Γ'.)

Τῇ δὲ προσεχεῖ Κυριακῇ, κγ'. Ἰουνίου, ἐγένετο, κατὰ τὰ εἰθισμένα, ἡ ἐπίδοσις τῶν πτυχίων τοῖς τελειοδιδάκτοις μαθηταῖς ἐπὶ παρουσίᾳ καὶ αὖθις τῆς Αὐτοῦ Θ.Π., τῶν ΣΣ. Συνοδικῶν, τῶν Ἐφόρων, τῶν Καθηγητῶν καὶ διδασκάλων, τῶν λοιπῶν μαθητῶν τῆς σχολῆς καὶ πολλῶν λογίων καὶ ἐντίμων προσώπων. Καὶ πρῶτον μὲν ἐτελέσθη ἱερὰ τελετὴ ὑπὸ τῆς Αὐτοῦ Θ. Π. Εἶτα ἑκάστου τὸν εἰκεῖον τόπον καταλαβόντος, ὁ Σχολάρχης ἀπηύθυνε πρὸς τοὺς ἐνώπιον αὐτοῦ ἱσταμένους καὶ ὅσον οὔπω ἀπολυομένους φοιτητὰς τῆς Σχολῆς τάδε.

Φίλοι ὁμιληταί.

Ὑπάρχουσι στιγμαὶ ἐν τῷ βίῳ ὅλον τὸν ἄνθρωπον αἰχμαλωτίζουσαι διὰ δυνάμεως ὑπερτέρας καὶ ἀσυνήθους, τὸν ὁρίζοντα αὐτοῦ φαιδρύνουσαι καὶ τὴν εὐλογίαν αὐτῶν ἐπὶ τὰς μελλούσας ἡμέρας ἐπιχέουσαι. Σπάνιαι βεβαίως εἶναι αἱ στιγμαὶ αὗται, ἀλλ' ὅταν ἔλθωσι, πόσον εὐφροσύνως ἀσπαζόμεθα αὐτάς, καὶ πόσον ἱερὰ διαμένει ἐν τῷ μέλλοντι ἡ μνήμη αὐτῶν!

Τοιαύτη, φίλοι ὁμιληταί, τυγχάνει δι' ὑμᾶς τε καὶ διὰ τὴν Σχολὴν ἡ ὥρα αὕτη, καθ' ἣν ἐν μέσῳ πολυπληθοῦς, σεβασμίας καὶ ἐκλεκτῆς ὁμηγύρεως ὡς καρποὶ ὡραῖοι καὶ καλοὶ εἰς βρῶσιν ἀπὸ δένδρου ἀγλαοῦ καὶ καλλιγόνου ἀποχωριζόμενοι ἀπὸ τῆς ἡμετέρας Σχολῆς καὶ τὸν στέφανον ἕκαστος κομίζοντες τῆς φερεπονίας ὑμῶν, ἀπέρχεσθε ἐν εἰρήνῃ ὅπου ὑμᾶς ἡ θεία πρόνοια ἐκάλεσεν.

Δεῦτε λοιπὸν ἐντείνατε τὸ οὖς, ἀνοίξατε τὴν καρδίαν ὑμῶν εἰς τὴν ὑστάτην καὶ τελευταίαν ταύτην προσλαλιάν. ἣν, εἰ καὶ κατ' ἔθος ἀρχαῖον, ἀλλάγε ὡς μήτηρ φιλόστοργος ἀπὸ μητρικῶν σπλάγχνων κατὰ τὴν ἱερὰν ταύτην καὶ ἐπίσημον ὥραν δι' ἐμοῦ πρὸς ὑμᾶς ἀπευθύνει ἡ πεφιλημένη ὑμῶν αὕτη Σχολὴ ὡς πρὸς τέκνα αὐτῆς ἀγαπητά, καὶ ἔστωσαν ὑμῖν οἱ λόγοι αὐτῆς ὡς κανὼν καὶ γνώμων διὰ παντὸς τοῦ βίου ὑμῶν. Διότι ἐκεῖνος, ἀγαπητοί, εὐπλοεῖ διασχίζων τὴν ὑφαλώδη τοῦ βίου τούτου θάλασσαν, ὅστις βολιδοσκοπῶν διαπλέει καὶ πρὸς τοὺς φαεινοὺς φάρους τοὺς σημειοῦντας αὐτῷ τὰς ἐπικινδύνους θέσεις νήφων ἀεὶ προστατενίζει.

Γινώσκετε πρὸ πάντων ὅτι ὅλος ὁ βίος ἡμῶν ἐκ τριῶν ἀποτελεῖται μερῶν, ἐκ τοῦ παρελθόντος, τοῦ ἐνεστῶτος καὶ τοῦ μέλλοντος, ἢ ἁπλούστερον εἰπεῖν, ἡ ζωὴ ἡμῶν χθές ἐστι καὶ σήμερον καὶ αὔριον. Τὸ παρελθὸν ὁμοιάζει πρὸς σπουδαῖον, ἔμβριθῆ καὶ πολυειδήμονα λευκότριχον διδάσκαλον· οἱ λόγοι αὐτοῦ εἰσι πλήρεις σοφίας καὶ συνέσεως καὶ διδακτικῶν παραδειγμάτων. Ἀκούετε οὖν αὐτοῦ μετὰ προσοχῆς καὶ διηνεκῶς καὶ τῶν λόγων αὐτοῦ διαμνημονεύετε, ἵνα καὶ τὴν πεῖραν ἔχοντες διδάσκαλον τί ὑμῖν τὸ πρακτέον καὶ μὴ καλῶς διαγινώσκητε. Τὸ ἐνεστὼς ὁμοιάζει πρὸς φίλον νεαρὸν καὶ πλήρη χαρίτων, οὗ ἡ προσφιλὴς καὶ χαρίεσσα συναναστροφὴ πολυειδῶς καὶ πολυτρόπως ἡμᾶς ἐφέλκεται καὶ εὐαρεστεῖ· ἔστε ὅμως φρόνιμοι· μὴ ἐπιλανθάνεσθε τῆς νεότητος καὶ ἀπειρίας τοῦ φίλου τούτου, πεφεισμένην χορηγεῖτε αὐτῷ τὴν πίστιν ὑμῶν, καὶ φυλάσσεσθε ἀπὸ τῶν νεανιευμάτων καὶ παρεκτροπῶν αὐτοῦ. Τὸ μέλλον θεωρεῖτε ὡς παντάπασιν ἄγνωστον ξένον, εἰς ὃν ὀλίγον ἢ οὐδόλως δύναταί τις νὰ βασισθῇ. Τοῦτο δύναται νὰ ἔλθῃ μετ' εὐλογίας εὐφρόσυνον καὶ εὐτυχές, δύναται ὅμως νὰ ἀποβῇ ἡμῖν καὶ χαλεπόν, πονηρὸν καὶ κακοπράγμον, ἀλλὰ δυνατὸν καὶ δίχολον νὰ μὴ παρουσιασθῇ. Οὕτω βιοῦντες, ἀσφαλῆ καὶ ἀδιάπτωτον ὅσον οἷόν τε ἕξετε τὸν βίον καὶ οὐ πολλαῖς καὶ ποικίλαις ταῖς μεταμελείαις κατεσπαρμένον.

Ἐπὶ τούτοις λέγω ὑμῖν καὶ τάδε. Πολλαί εἰσιν αἱ δυνάμεις, ἃς ὁ ἄνθρωπος κέκτηται, μεγάλη δὲ ἡ ἰσχὺς τῆς θελήσεως αὐτοῦ· θέλετε ὅμως πάντοτε τὸ ἀγαθόν, ποιεῖσθε πάντοτε εὐγενῆ χρῆσιν τῶν ψυχικῶν ὑμῶν δυνάμεων, ἃς ὡς δῶρον ἀπὸ τοῦ οὐρανοῦ ἐλάβετε· διότι ὁ ἄνθρωπος οὐδέποτε ὀφείλει μόνον τὰ ὑλικὰ συμφέροντα αὐτοῦ νὰ ἐπιδιώκῃ, ὡς μηχανή τις νὰ κινῆται χωρὶς νὰ ἐμφορῆται ὑπὸ τῶν θείων ἐκείνων ἀληθειῶν, τὰς ὁποίας ὁ δάκτυλος τοῦ Θεοῦ ἐν τῇ καρδίᾳ αὐτοῦ ἐνεχάραξε, χωρὶς νὰ ἐμπνέηται ὑπὸ τῶν διδασκαλιῶν τοῦ Εὐαγγελίου ἐκείνου, ὅπερ προώρισται νὰ ἐνσπείρῃ ἐπὶ τῆς γῆς τὰς αἰωνίους ἀρχὰς τῆς μεταξὺ τῶν ἀνθρώπων ἀγάπης καὶ τῶν εὐγενῶν καὶ θείων ἐν γένει αἰσθημάτων.

Οἱ εὐγενέστεροι νόες, οἱ μέγιστοι ποιηταὶ καὶ φιλόσοφοι πάντων τῶν αἰώνων καὶ πάντων τῶν ἐθνῶν, ἐνθέρμως ἐξύμνησαν τὴν καθαρότητα καὶ ἀγαθότητα τῆς καρδίας ὡς τὴν ὑψίστην ἀξίαν, ὡς τὸ τιμαλφέστατον τοῦ ἀνθρώπου κειμήλιον· καὶ δικαίως· διότι αἱ γνώσεις ἡμῶν, ὅσον εὐρεῖαι καὶ ἀκριβεῖς καὶ ἂν ὦσιν, ἡ περὶ τὴν καλλιτεχνίαν δεξιότης ὅσον μεγάλη καὶ θαυμασία καὶ ἂν ᾖ, ὅσος ὁ πλοῦτος καὶ ἡ δόξα καὶ αἱ τιμαί—οὐδέποτε ταῦτα ἔχουσιν ἀπόλυτον καὶ αἰωνίαν δι' ἡμᾶς ἀξίαν, οὐδέποτε καθιστῶσιν ἡμᾶς ἐναρέτους καὶ σεβαστούς, ἐὰν μὴ συνάμα πάλλῃ ἐν τῷ στήθει ἡμῶν ἀγαθὴ καὶ εὐγενὴς καρδία. Ὁ γεωργός, ὁ βιομήχανος, ὁ χειρώναξ, οὗ τινος ἡ καρδία εἶναι καθαρά, αἱ πράξεις ἁγναί, ἀλήθειαν, ἀγάπην καὶ δικαιοσύνην πνέουσαι, αὐτὸς ἵσταται εἰς περιωπὴν πολλῷ ὑψηλοτέραν ἢ ὁ πολυμαθέστατος σοφὸς καὶ ὁ ἄριστος καλλιτέχνης ὁ ἐκτρεπόμενος τοῦ πρωτίστου προορισμοῦ τοῦ ἀνθρώπου, ὁ στερούμενος τὴν καθαρότητα τοῦ ἠθικοῦ χαρακτῆρος.

Μὴ διαλείπετε λοιπὸν διατηροῦντες ἐν τῇ καρδίᾳ ὑμῶν τὸ ἱερὸν ἐκεῖνο πῦρ, ὅπερ μόνον διὰ τῆς ἀληθείας καὶ τῆς καθαρᾶς ἀγάπης ἀνάπτει καὶ

ζωηρὸν ἐν ἡμῖν διασώζεται, καὶ τότε ἔστε βέβαιοι ὅτι οὐδέποτε καταφρονήσετε ὡς δειλίαν τὴν ἠπιότητα τοῦ ἐναρέτου, οὐδέποτε ἐγκωμιάσετε ὡς ἀνδρίαν τὴν θρασύτητα καὶ μανιώδη τόλμην τοῦ παραβόλου, οὐδέποτε ὑπολήψεσθε ὡς φρόνιμον καὶ συνετὸν τὸν ὕπουλον καὶ δολερόν, ὡς τίμιον τὸν ὑποκριτήν, ὡς πιστὸν καὶ εἰλικρινῆ τὸν κόλακα· ἀλλ' ἔσεσθε ἀείποτε ἐχθροὶ τῆς ἠθικῆς καὶ κοινωνικῆς ἀταξίας, τοῦ ψεύδους καὶ τῆς κακίας, καὶ ὅταν ἔτι προβλέπητε ὅτι ἕνεκα τούτου δύνανται οἱ ἄνθρωποι νὰ λάβωσιν ἀφ' ὑμῶν πᾶν ὅ,τι ἔδωκαν ὑμῖν—διότι ἐκεῖνο, ὅπερ ἡμεῖς εἰς ἑαυτοὺς δίδομεν, οὐδεὶς ἀφ' ἡμῶν αἴρει.

Προσέχετε ὅμως μὴ γίνεσθε ἀετοὶ ἐν λόγοις, κτήνη δὲ τῆς γῆς ὑποζύγια τῇ πράξει. Ὁ χαρακτὴρ ὑμῶν ἔστω πάντοτε καὶ ἐν πᾶσι τίμιος, εὐσταθής, σεμνός, μεγαλοπρεπής, ἵνα μὴ ἦτε ὡς κάλαμοι παντὶ ἀνέμῳ σαλευόμενοι, νῦν μὲν ἀέλπιδες, ἄθυμοι καὶ χαμαὶ ἕρποντες, ἄλλοτε δὲ ὑπὲρ ὃ δεῖ φρονοῦντες καὶ ἀκατάσχετοι. Προσέχετε δὲ μάλιστα ἀπὸ τῶν ὑπερβολῶν. *Μηδὲν ἄγαν*, ἦν τὸ σοφὸν τῶν ἡμετέρων προγόνων παράγγελμα· ἐν τῇ ἰσορροπίᾳ τῶν δυνάμεων ἡμῶν ἔγκειται ἡ ἀληθής, ἡ ἱερὰ τοῦ βίου σταδιοδρομία· ἡ καταστροφὴ αὐτῆς διὰ τῆς ἐπιτάσεως ἢ τῆς ἐξασθενίσεως τῶν δυνάμεων ἡμῶν καθίστησιν ἡμᾶς τοὺς βροτοὺς ἀείποτε δυστυχεῖς καὶ ταλαιπώρους. Ὁ τὴν ἀληθῆ καὶ ἔλλογον ἰσορροπίαν τῶν ψυχικῶν αὐτοῦ δυνάμεων ἐπιδιώκων, ὁ τὴν καλὴν ἁρμονίαν τοῦ πνεύματος καὶ τῆς καρδίας κεκτημένος, δι' ἧς μόνης ὁ ἔσω ἄνθρωπος εἰρηνεύει, οὗτος κατανοεῖ τὴν μεγάλην τοῦ βίου σημασίαν, οὗτος ἀπολαύει ἐν μέρει τῆς ἀληθοῦς καὶ μακαρίας ἡδονῆς καὶ πρὸς τὴν ἀγήρω καὶ τελείαν ἐπείγεται παρασκευαζόμενος εἰς τὴν πέραν τοῦ τάφου μεγάλην καὶ τελευταίαν ἐκείνην *ἐξέτασιν*, ἐν ᾗ μέλλομεν παρασταθῆναι πάντες, ὅταν ὁ ὀφθαλμὸς ἡμῶν κλεισθῇ διὰ τελευταίαν φορὰν εἰς τὸ φῶς τοῦ ἡλίου. Τότε πεσεῖται ἀφ' ἡμῶν πᾶσα ἡ ἐξωτερικὴ λάμψις, ὅλον ἐκεῖνο τὸ ἀπατηλὸν καὶ ψευδώνυμον φῶς, δι' οὗ αἱ ἀσχημίαι καλύπτονται, ἡ προσωπιδοφόρος παράστασις τοῦ θεάτρου τοῦ κόσμου τούτου καταλήγει τότε, τότε ἕκαστος ἐμφανίζεται ὡς ἔχει ἐν τῷ ἰδίῳ προσώπῳ, καὶ ἔστιν ἄξιος τοσούτου μόνον, ὅση εἶναι ἡ ἀληθὴς καὶ πραγματικὴ αὐτοῦ ἀξία.

Λοιπὸν ἀγαθῇ τύχῃ, ὦ νέοι, ἀνδρίζεσθε καὶ κραταιοῦσθε ἐν τῷ μέλλοντι καὶ μηδέποτε ἀποβάλλετε ἀπὸ τῶν ὀφθαλμῶν ὑμῶν τὸν μέγαν ὑμῶν προορισμόν· χρησιμοποιήσατε τὰς γνώσεις καὶ ὑμᾶς αὐτοὺς ἐν τῇ κοινωνίᾳ, εἰς ἣν ἤδη ἐξέρχεσθε ἐγκαταλείποντες τὴν Σχολήν. Οἱονδήποτε καὶ ἂν ᾖ τὸ στάδιον ὑμῶν ἐν τῷ μέλλοντι, συνοδοιπόρον ἔχετε πάντοτε μεθ' ὑμῶν τὴν ἐπιμέλειαν, τὴν μητέρα τῆς προόδου, καὶ τὴν τάξιν τὴν μαιεύτριαν παντὸς ἔργου. Ἐπιγινώσκετε δὲ τὸ μέτρον τῶν δυνάμεων ὑμῶν· μηδέποτε ὑπερτιμήσητε τὰ ἔργα τῆς διανοίας καὶ τῶν χειρῶν ὑμῶν, ἀλλ' ἔστε μετριόφρονες, εἰδότες ὅτι τὸν ὑπερήφανον καὶ ἀλαζόνα καὶ οἱ ἄνθρωποι ἀποστρέφονται καὶ βδελύσσονται. Ἐὰν δέ τις ἐξ ὑμῶν

διαπρέψῃ ποτὲ ἐν τῷ σταδίῳ τῆς ἐπιστήμης, ἀναπολείτω ἐν τῇ μνήμῃ αὐτοῦ τοὺς λόγους τοῦ μεγάλου τῆς Εὐρώπης φυσιοδίφου τοῦ εἰπόντος· Ἡ ἐπιστήμη οὐδὲν ἄλλο ἐστὶν εἰμὴ τὸ βαθμόμετρον τῆς ἡμετέρας ἀγνοίας. Ὅσῳ μᾶλλον ἐκτείνεται τὸ πεδίον τῶν γνώσεων ἡμῶν, τοσοῦτο μᾶλλον κατανοοῦμεν τὸ ἀκαταμέτρητον βάθος αὐτοῦ, ὅπερ εἰσέτι κεκλεισμένον ἡμῖν ἐναπολείπεται. Ὁ φόβος τοῦ ἥρωος τῆς Μακεδονίας ὅτι οὐδὲν αὐτῷ πρὸς κατάκτησιν ὑπὸ τοῦ πατρὸς ἔμελλε νὰ ἐγκαταλειφθῇ, ξένος ὅλως καὶ ἀλλότριος ὑπάρχει ἐν τῷ ἐπιστημονικῷ σταδίῳ, ἐν ᾧ δύναταί τις νὰ ἀνευρίσκῃ καὶ κατακτᾷ πάντοτε νέους κόσμους.

Ἵνα δὲ συνελὼν εἴπω, ἐν παντὶ καιρῷ, ἐν πάσῃ τοῦ βίου ὑμῶν περιστάσει ἡ πιστὴ τῶν καθηκόντων τῆς θέσεως ὑμῶν ἐκπλήρωσις, ἔστω τὸ πρώτιστον καὶ ἱερώτατον ὑμῶν μέλημα, ὡς πρέπει εἰς ἀληθῶς τιμίας καὶ εὐγενεῖς ψυχάς. Γινώσκετε, λέγει τις τῶν μεταγενεστέρων ποιητῶν, τί ἐδίδαξάν με οἱ σοφοί, οἱ τετελευτηκότες καὶ οἱ ζῶντες, οἱ χθὲς καὶ σήμερον, οἱ ἐξ Ἀθηνῶν καὶ ἀπὸ Ῥώμης; Ἐπιθυμεῖτε νὰ μάθητε τὴν ἀρχαίαν, τὴν νέαν καὶ νεωτάτην σοφίαν; Ποιεῖτε τὰ καθήκοντα ὑμῶν, ἀταράχως προσδέχεσθε πᾶν τὸ ἐρχόμενον· — οὕτω ποιοῦντες, ἀγαπητοί, εὐτυχεῖς καὶ μακάριοι ἔσεσθε, διότι καὶ τὴν ἀθωότητα τῆς καρδίας ὑμῶν ἱερὰν διὰ παντὸς τηρήσετε ὡς πρέπει μάλιστα Χριστιανοῖς, καὶ τὴν εἰρήνην τῆς συνειδήσεως ὑμῶν, τὸ πολυτιμότατον τοῦτο τοῦ ἀνθρώπου ἀγαθόν, οὐδαμῶς ἀπολέσετε, καὶ τὴν Σχολὴν ἡμῶν δόξῃ καὶ τιμῇ ἀμαράντῳ περιβαλεῖτε.

Ἡμεῖς εὐχόμεθα ὑμῖν τὰ βέλτιστα καὶ παρ' ὑμῶν προσδοκῶμεν τὰ βέλτιστα, καὶ ἐπὶ ταύτῃ τῇ εὐχῇ καὶ τῇ ἐλπίδι ἀπολύομεν ὑμᾶς σήμερον τῆς Σχολῆς ἐν ἀγαλλιάσει ψυχῆς.

Μετὰ ταῦτα ἀναστὰς ὁ Γραμματεὺς τῆς Σχολῆς, ἀνέγνω τὸ πρακτικὸν τῆς ἐπὶ τῇ βαθμολογήσει τῶν τελειοφοίτων συγκροτηθείσης συνεδριάσεως τοῦ καθηγητικοῦ Συλλόγου, ἔχον ὡς ἀκολούθως.

Πρᾶξις τοῦ καθηγητικοῦ τῆς Μ. τοῦ Γ. Σχολῆς Συλλόγου ἐπὶ τῆς βαθμολογήσεως τῶν ἀπολυομένων 17 φοιτητῶν.

Τῇ εἰκοστῇ δευτέρᾳ Ἰουνίου τοῦ χιλιοστοῦ ὀκτακοσιοστοῦ ἑξηκοστοῦ ὀγδόου σωτηρίου ἔτους συνελθὼν ὁ τῶν Καθηγητῶν τῆς Μ. τοῦ Γένους Σχολῆς Σύλλογος ὑπὸ τὴν προεδρίαν τοῦ Σχολάρχου πανοσιολογιωτάτου Ἀρχιμανδρίτου κ. Φιλοθέου Βρυεννίου, μετὰ τὸ πέρας τῶν δημοσίων ἐξετάσεων τῶν ἀπολυομένων 17 φοιτητῶν, καὶ λαβὼν ὑπ' ὄψιν τοὺς καθημερινοὺς ἐλέγχους καὶ τὰς ἐν τῇ γενικῇ ταύτῃ δοκιμασίᾳ αὐτῶν ἀπαντήσεις, τὸν δίκαιον ἑκάστῳ βαθμὸν ἀπένειμεν, ὑπολογιζόμενοι κατὰ λόγον τῆς εἰδικῆς ἀξίας τῶν τε μαθημάτων καὶ τῆς ἐν αὐτοῖς προόδου. Καὶ οἱ μὲν 16 τῶν φοιτητῶν ἐκρίθησαν ἄξιοι τοῦ νενομισμένου πτυχίου, λαβόντες οἱ μὲν Γεώργιος Κατσελίδης, Δημήτριος Λογιάδης, Ἐμμανουὴλ Ἰ-

αμυρίδης, Ἐμμανουὴλ Παπαδάκης, Ἰωάννης Ἰατρουδάκης, Κωνσταντῖνος Κωνσταντινίδης, Νικόλαος Παντελεήμονος, Σαββας Μιχαὴλ, Σταμάτιος Δημητρίου, Στέφανος Βασιλείου καὶ Φώτιος Μεσθενεὺς τὸν βαθμὸν ἄριστα· οἱ δὲ Γεώργιος Χαραλάμπους, Δαβὶδ Ἰωτήφ, Δημήτριος Γρηγορίου καὶ Μιχαὴλ Τσεκούρας τὸν βαθμὸν πάνυ καλῶς· ὁ δὲ Νικόλαος Ἀρσένης τὸν βαθμὸν καλῶς. Ἐνὶ δὲ μόνῳ τῷ Ἰωάννῃ Γεωργίου δοθήσεται ἀποδεικτικὸν ἁπλῶς τῆς μαθητείας καὶ ἀκροάσεως τῶν μαθημάτων τῆς Σχολῆς, ὡς μὴ κριθέντι ἀξίῳ πτυχίου — καὶ οὕτω διελύθη ἡ συνεδρίασις.

Ὁ Σχολάρχης	Οἱ Καθηγηταὶ
Ἀρχιμ. Φιλόθεος Βρυέννιος.	Ἰ. Φιλαλήθης. Ἀ. Χαρίλαος.
	Ἰ. Ἀριστοκλῆς. Αἰμ. Νοννόττης.
Ὁ Γραμματεὺς	Ἀ. Σπαθάρης. Ἀ. Κωνσταντινίδης.
Β. Δ. Καλλίφρων.	Β. Δ. Καλλίφρων. Κ. Ζαχαριάδης.
	Ἀ. Χουρμουζιάδης.

—

Μετὰ τὴν ἀνάγνωσιν τοῦ Πρακτικοῦ προσκαλούμενοι κατὰ τάξιν ὑπὸ τοῦ Σχολάρχου οἱ ἀπολυόμενοι μαθηταὶ ἐλάμβανον τὸ ἑαυτῶν πτυχίον ἐκ τῶν χειρῶν αὐτοῦ, προσφωνοῦντος ἑκάστῳ τάδε.

« Λάβε τὸ πτυχίον τοῦτο, ὅπερ δίδοταί σοι δι' ἐμοῦ ὑπὸ τῆς Σχολῆς εἰς μαρτύριον τῆς ἐν αὐτῇ εὐδοκίμου φοιτήσεώς σου· εἶης δὲ καὶ τοῦ λοιποῦ ἐν ἅπασιν εὐδοκιμῶν!

(Τὸν τύπον τοῦ πτυχίου βλ. κατόπιν ὑπὸ τὸ στοιχ. Δ').

Ὕστερον δὲ προσιόντες τῇ Α· Θ. Π. καὶ τὴν δεξιὰν αὐτοῦ εὐλαβῶς ἀσπαζόμενοι, ἐλάμβανον παρ' αὐτοῦ καὶ τὰς εὐχὰς καὶ εὐλογίας τῆς Ἐκκλησίας, ἐπιλέγοντος τοῦ Πατριάρχου ἑκάστῳ·

« Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἶη μετὰ σοῦ φωτίζουσά σε, συνετίζουσα καὶ διαφυλάττουσα πάσας τὰς ἡμέρας τῆς ζωῆς σου ».

Εἶτα ἡ Α. Θ. Π. προσέλεξε πᾶσι τάδε·

« Τέκνα ἐν Κυρίῳ προσφιλῆ,

Εὐφραίνουσι τοὺς πατέρας οἱ τῶν ἐναρέτων τέκνων ἀγαθαὶ καὶ γενναῖαι ἐπιδόσεις, καὶ αἱ παντοῖαι εὐδοκιμήσεις, αἵ τε ἄλλαι καὶ διαφερόντες αἱ ἐκ τῶν ἠθικῶν καὶ διανοητικῶν πράξεων καὶ προόδων ἐξανατέλλουσαι, ἀφ' ὧν ἐκπηγάζει οὐ μόνον πᾶσα ἡ κατὰ τὸν βίον τοῦτον οἰκιακή τε καὶ κοινωνικὴ εὐημερία καὶ κατευόδωσις τῶν ἀτόμων καὶ τῶν πολιτειῶν, ἀλλὰ καὶ τὸ πάντων σκοπιμώτατον, ἡ τοῦ ἔσω ἀνθρώπου εὐκταία καὶ ἐφικτὴ τελειότης, δι' ἣν ἀνάλογος στέφανος θησαυρίζεται ἐν τοῖς οὐρα-

νοῖς, στέφανος αἰωνίου δόξης καὶ αἰωνίου μακαριότητος· ὥστε ὁ εἰς τοιαῦτα τῆς ἀληθινῆς παιδείας καὶ τῆς ἐν Χριστῷ ἠθοποιήσεως καὶ τελειώσεως πνευματικὰ καὶ ζηλωτὰ γυμνάσια ἐκ παίδων φιλοτίμως ἐπαλειφόμενος, ἐκεῖνός ἐστιν ὁ φρόνιμος καὶ πιστὸς οἰκονόμος τοῦ θεοδωρήτου κειμηλίου τῆς ἐπὶ γῆς ζωῆς, προσφέρων τὰς τῆς ἀβρᾶς καὶ πρὸς πανοτιοῦν δεξιᾶς νεότητος ἐκλεκτὰς καὶ μεμετρημένας ἡμέρας, δίκην θεοσημάντων δραχμῶν, πρὸς ἐμπορίαν τιμαλφῶν ἀδαμάντων, χρησίμων, ὧν μὲν εἰς τὴν ἐπίγειον παροικίαν, ὧν δὲ εἰς τὸν ἀποκείμενον πᾶσι τοῖς κατὰ Θεὸν σοφοῖς καὶ δικαίοις θεόπλεκτον καὶ ἀμάραντον στέφανον. Ὄντως μακαρία ἡ γενεὰ τῶν ἐπὶ τοιούτοις καὶ οὕτω παιδευομένων μειρακίων! Τρισμάκαρες δὲ καὶ οἱ τὴν νεότητα νουθετοῦντες καὶ παιδεύοντες ἐν τοιαύτῃ θεοφιλεῖ καὶ ὑγιαινούσῃ παιδείᾳ καὶ νουθεσίᾳ γονεῖς καὶ διδάσκαλοι! Πολλοὺς καὶ ἀφεγγεστέρους αἰῶνας, ὦ ἀγαπητὰ τέκνα τῆς εὐσεβείας, καὶ ἡ τοῦ καθ' ἡμᾶς ὀρθοδόξου Γένους μεγάλη αὕτη καὶ Πατριαρχικὴ Σχολή, καθάπερ μουσοστόλος ναῦς, τὴν τῆς ἑῴας Ἑλληνογενῆ παιδείαν οὐκ ἀκυμάντως μέν, ἐνδόξως δὲ ναυστολήσασα, τοιαῦτα μαθήματα ἐξεπαίδευσε καὶ ἀκμὴν ἐκπαιδεύει τὸ Ἔθνος, ἅτινα ἐπιχαρίτως καὶ οὐδὲν ἧττον ἀγλαοφανῶς ἢ καὶ λυσιτελούντως συνδυάζοντα τὴν ἀνθρωπίνην καὶ βιοτέρμονα γνῶσιν μετὰ τῆς θείας, συγκαταρτίζουσιν ἐπ' ἀμφοῖν ἐν τῷ αὐτῷ μαθητῇ ἕνα καὶ σεμνὸν καὶ τρίχαριν ἀνδριάντα, τὸν τοῦ τελείου Χριστιανοῦ, τοῦ χρησίμου πολίτου καὶ τοῦ διδασκάλου τῆς ὀρθῆς διδασκαλίας καὶ παιδεύσεως. Τοιαύτη δὲ καὶ σήμερον, θείῳ ἐλέει, διατελοῦσα τὴν πρόθεσιν ἡ Σχολή, χαίρει μὲν αὐτὴ ἐπαναβλέπουσα ἐν τῇ σεμνῇ καὶ εὐέλπιδι ταύτῃ νέᾳ γενεᾷ, τῇ πάντοτε ζήλῳ ἐνθέῳ καὶ νεαρῷ πρὸς τὰ καλὰ καὶ γενναῖα ὀργώσῃ, διαλάμποντας ζωηροὺς καὶ ἀκηλιδώτους τοὺς πατρίους χαρακτῆρας· ἀγάλλονται δὲ ὁμοῦ Ἐκκλησία καὶ Ἔθνος ἐμβλέποντες ἐν τοῖς νῦν Σχολάρχαις καὶ Καθηγηταῖς καὶ διδασκάλοις ἀδιάκοπον τὴν εὐλογημένην καὶ χρυσῆν ἐκείνην ἅλυσον τῶν πρὸ ἡμῶν ἀειμνήστων καὶ παντὶ τῷ Γένει κοινωφελεστάτων γενομένων διδασκάλων, οἵτινες οὐχ ἧκιστα διὰ τῆς συνεχοῦς καὶ ἐναρέτου πολιτείας καὶ διευθύνσεως, ἣ καὶ διὰ τῆς ἐπιστημονικῆς καὶ φερεπόνου διδασκαλίας αὐτῶν τὴν μεγαλώνυμον ταύτην Σχολὴν τὸ ἐπ' αὐτοῖς ἐκλεῖσαν καὶ ἐμεγάλυναν καὶ ἐλάμπρυναν. Οὕτω τοίνυν, εὐλογητὸς ὁ τῆς ἀφάτου εὐδοκίας Θεός, συγκομισάμενοι καὶ κατὰ τοῦτον τὸν ἐνιαυτὸν εἰς τοὺς σιτοβολῶνας τοῦ ἐθνικοῦ φωτισμοῦ δαψιλῆ καὶ πολύχουν τὸν τῶν ἐτησίων μαθημάτων θερισμόν, τοῦτον μὲν ἀεὶ πολλαπλασίονα καὶ ἀδρότερον ἐξαιτούμεθα παρὰ τοῦ Κυρίου τῶν δωρεῶν· πάντας δὲ τοὺς ὅπως ποτὲ ἐργαζομένους καὶ συντελοῦντας εἰς τὴν πνευματικὴν καὶ πολύτιμον ταύτην τοῦ Ἔθνους συγκομιδήν, τοὺς προστάτας καὶ ἐφορεύοντας, τὸν πεῖρα καὶ παιδείᾳ συγκεκροτημένον ἱεροπρεπῆ Σχολάρχην τοσαύτῃ, ὥστε δικαιῶσαι ἐκ προοιμίων τὴν ἐκλογήν, τοὺς διδασκάλους καὶ τοὺς μαθητὰς ἐγκαρδίως ἐπευλογοῦντες καὶ ταῖς ἐπαξίοις καταστέφοντες

εὐφημίαις, δεόμεθα τοῦ Θεοῦ τῶν φώτων, ἵνα καὶ εἰς τὸ διηνεκὲς στηρίξῃ καὶ πλατύνῃ καὶ μεγαλύνῃ τὴν Μεγάλην ταύτην τοῦ Γένους Σχολήν, προβιβάζων τοὺς ἐν αὐτῇ φοιτῶντας εἰς αὔξησιν ἀληθινῆς γνώσεως καὶ εὐσεβείας, εἰς προκοπὴν βίου τελειοτέρου κοινωνικῶς καὶ πνευματικῶς· ἀμήν ».

Περανθείσης δὲ τῆς προσλαλιᾶς τῆς Α. Θ. Π., εἷς τῶν τελειοφοίτων, παραστὰς εἰς μέσον ἐκ προσώπου πάντων τῶν συμμαθητῶν αὐτοῦ, ἐξέφρασε δημοσίᾳ τὴν εὐγνωμοσύνην ἀποδοὺς τὴν εὐχαριστίαν, μετὰ Θεὸν τὸν πρύτανιν καὶ παροχέα πάντων τῶν καλῶν, τῇ τε προστάτιδι τῆς Σχολῆς Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ καὶ τῇ Σχολῇ τῇ ἐκθρεψάσῃ αὐτοὺς πνευματικῶς τε καὶ ἠθικῶς. Τὴν εὐχαριστίαν ταύτην διεδέξατο τὸ « Πολυχρόνιον ποιήσαι Κύριος ὁ Θεὸς κτλ. » καὶ οὕτω διελύθη ἡ ὁμήγυρις.

—o—

ΠΑΡΑΡΤΗΜΑ

Α'.

« Πρόγραμμα τῶν μαθημάτων τῆς Μεγ. τοῦ Γένους Σχολῆς, ἐν ἔτει 1867—1868.

—

ΤΑΞΙΣ Α'.	Ποσάκις τῆς ἑβδομ.	Ὧραι.
1) Δογματικὴ Θεολογία (1)	2	2
2) Ἑλληνικὰ (Σοφ. Ἀντιγ. Πίνδ.) (2)	6	7 1[2
3) Ἱστορία τῆς Φιλοσοφίας (1)	2	2
4) Καλλιλογία (6)	1	1 1[2
5) Ῥητορικὴ μετὰ γυμνασμάτων (2)	2	2
6) Ἱστορία νεωτέρα (8)	3	3
7) Ἱστορία συγκριτικὴ τῆς Ἑλληνικ. καὶ Λατινικῆς Φιλολογίας (3)	2	3
8) Φυσικὴ πειραματικὴ (7)	3	4 1[2
9) Χημία (7)	2	2
10) Λατινικὰ (Οὐϊργίλ. καὶ Ὁράτ.) (8)	3	4
11) Θεωρία τῆς Ποιήσεως (2)	1	1
12) Ἐπιγράμματα (4)	1	1 1[2
ΤΑΞΙΣ Β'.		
1) Ἐκκλησιαστικὴ Ἱστορία (1)	2	2
2) Ἑλληνικὰ (Ὁμήρ. Ἰλ. καὶ Ὀδύσ. καὶ Θεόκρ.) (4)	5	7
3) Μετρικὴ καὶ Ἐπιγράμματα (4)	1	1 1]2
4) Λογικὴ καὶ Ἠθικὴ (6)	3	3 1[2
5) Ἱστορία μέση (8)	3	4
6) Τριγωνομετρία καὶ Κοσμογραφία (7)	3	3
7) Λατινικὰ (Σαλλούστ. καὶ Ὀβίδ.) (8)	3	4 1[2
8) Λατινικὰ θέματα (8)	1	1 1[2
9) Ἐμπορικὸν δίκαιον (10)	2	2
ΤΑΞΙΣ Γ'.		
1) Ἑλληνικὰ (Θουκυδ. καὶ Ἡρόδ.) (4)	5	7 1[2
2) Ἐπιστολογραφία Ἑλληνικ. (4)	1	1 1[2
3) Ψυχολογία (6)	3	3
4) Ῥωμαϊκὴ Ἱστορία (9)	3	3
5) Λατινικὰ (Καῖσ. καὶ Κικέρ.) (8)	3	3
6) Λατινικὴ θεματογραφία καὶ συντακτικὸν (8)	1	1
7) Ἀλγεβρα (7)	3	3

	Ποσάκις τῆς ἑβδ.	Ὧραι
8) Ὀθωμανικὰ (μετὰ τῆς Δ΄. τάξ.) (12)	3	4 1[2
9) Γαλλικὰ (11)	3	4 1[2

ΤΑΞΙΣ Δ΄.

1) Ἑλλην. (Πλάτ. Κρίτ. καὶ Ἀλκιβ. Δημοσθ. [περὶ Στεφ. Αἰσχ. κατὰ Κτησιφ.) (5)	5	7 1[2
2) Ἑλληνικ. συντακτικὸν, θεματογραφία καὶ [συνθέσεις (5)	1	1 1[2
3) Ἀνθρωπολογία καὶ εἰσαγωγὴ εἰς τὴν Φι- [λοσοφίαν (6)	3	3
4) Ἀρχαία Ἱστορία (9)	3	3
5) Ἀρχαιολογία Ἑλληνικὴ (9)	2	2
6) Γεωμετρία (7)	3	3
7) Λατινικὰ (Καῖσ. Ἰουστῖν. καὶ ἐλευθέρα ἑρμηνεία ἐκ τοῦ De viris illustribus) (8)	3	3
8) Ὀθωμανικὰ (μετὰ τῆς Γ΄ τάξεως) (12)	3	4 1[2
9) Γαλλικὰ (11)	3	4 1[2

ΤΑΞΙΣ Ε΄.

1) Ἑλλην. (Ὀλυνθ. καὶ Φιλιππ. Δημοσθ.) (5)	5	7 1[2
2) Συντακτικὸν καὶ θεματογραφία (5)	2	2 1[2
3) Λατινικὰ (στοιχειώδη μαθήματα) (2)	3	4 1[2
4) Μαθηματικὴ καὶ φυσικὴ Γεωγραφία (7)	2	2
5) Ἀριθμητικὴ θεωρητικὴ (9)	3	3
6) Μυθολογία (9)	2	2
7) Γαλλικὰ (11)	3	4 1[2

Ἐκκλησιαστικὴ Μουσικὴ καὶ Διπλογραφία καθ' ὁρισθησομένας ἡμέρας καὶ ὥρας.

Καθηγηταί.

(1) Ε. Κλεόβουλος.
(2) Ι. Φιλαλήθης.
(3) Σ. Βίλκιος.
(4) Α. Χαρίλαος.
(5) Β. Καλλίφρων.
(6) Ι. Ἀριστοκλῆς.
(7) Α. Σπαθάρης.
(8) Αἰμ. Νοννόττης.
(9) Κ. Ζαχαριάδης.
(10) Ν. Γεωργιάδης.
(11) Γάλλος.
(12) Ὀθωμανός.

Ἐξεδόθη ἐν τῇ Μεγ. τοῦ Γέν. Σχολῇ, τῇ 13 Σεπτεμβρίου 1867.

Ὁ Σχολάρχης Ἀρχιμ. Εὐστ. Κλεόβουλος.»

Σημ. Ἡ ἔναρξις τῶν μαθημάτων καθ' ἑκάστην ἀπὸ τῆς 8 1[2. — Διάλειμμα ἀπὸ τῆς 11 1[2—12.—Ἡ διάρκεια τῶν πρὸ μεσημβρίας μαθημάτων 1 1[2 ὥρ.

—o—

Β΄.

Πρόγραμμα ἐνιαύσιον τῶν ἐν τῇ Προκαταρκτικῇ τοῦ Γέν. Σχολῇ διδασκομένων μαθημάτων κατὰ τὸ ἔτ. 1867—1868.

—

ΤΑΞΙΣ Α΄.	Ποσάκ. τῆς ἑβδ.	Ὧραι
1) Ἱερὰ Κατήχησις (ἡ κατ' ἔκτασιν ἐκ τοῦ Ῥωσσικοῦ μεταφρ.) (1)	2	2
2) Ἑλληνικ. (ὁ Ἀρειοπαγ. λόγ. τοῦ Ἰσοκρ., ὁ Περὶ τοῦ πῶς ἄν τις ὑπ' ἐχθρ. ὠφελοῖτο λόγ. τοῦ Πλουτ. καὶ ὁ Κίμ. τοῦ αὐτοῦ, ὁ Ἐπιτάφ. τοῦ Λυσ. καὶ ὁ Παραινετ. τοῦ Μεγ. Βασιλ. Τὸ συντακτ. τοῦ Ἀσωπ. [ἡ Α΄. περίοδ.] καὶ τεχνολογ. παρ' ἡμέραν) (1)	5	10
3) Ἐκθέσεις (1)	2	2
4) Ἑλληνικὴ Ἱστορία (τοῦ Κείτλη) (1)	3	3
5) Γεωμετρία στοιχειώδης (τοῦ Γεράκη) (1)	3	3
6) Ὀθωμανικὰ (στοιχειώδη μαθήματ.) (3)	3	4 1[2

ΤΑΞΙΣ Β΄.

1) Ἑλληνικ. (Τίμ. ὁ Μισάνθρ. τοῦ Λουκ., κεφάλ. τινα τῶν Ἀπομνημον. τοῦ Ξενοφ. καὶ ὁ Οἰκονομ. τοῦ αὐτοῦ, τεχνολογ. ἐκμάθησις τῶν ἀνωμ. ῥημ., τὸ κανονικ. μέρος τῆς Γραμμ. καὶ τὸ ὀρθογραφικὸν) (2)	5	10
2) Ὀρθογραφικαὶ ἀσκήσεις (2)	1	1
3) Ἀριθμητικὴ πρακτικ. (Α. Χουρμουζιάδ.) ἐκ τῶν κλασμάτων μέχρι τέλους (2)	3	3
4) Πολιτικὴ Γεωγραφία (Σακελλαρίου) (1)	3	3
5) Γαλλικὰ (στοιχειώδ. μαθήμ.) (4)	3	3

ΤΑΞΙΣ Γ΄.

1) Ἱερ. Ἱστορία τῆς Παλ. καὶ Καιν. Διαθήκης (ὑπὸ Πανταζῆ) (1)	3	4 1[2
2) Ἑλληνικ. (Γνωμικὰ καὶ σύντομοι φράσ., τὰ Ἀστεῖα τοῦ Ἱεροκλ., Αἰσώπειοι μῦθ., ἐκ τῶν τοῦ Λουκ. νεκρικ. Διαλόγ. τινὲς καὶ τὸ Ἐνύ-		

	Ποσάκ. τῆς ἑβδ.	Ὧραι
πνιον τοῦ αὐτοῦ καὶ ὁ περὶ Προσευχ. λόγ. Ἰωάνν. τοῦ Χρυσοστ. καὶ ὁ Περὶ τοῦ κατὰ Θεὸν πολιτεύεσθαι τοῦ αὐτοῦ· τῆς Γραμματ. τὸ τυπικὸν μέρ. μετά τινων γενικωτέρων κανόν. τῆς τεχνολογ.) (2)	5	10
3) Ἀριθμητ. πρακτ. (Α. Χουρμουζιάδ.) μέχρ. τῶν κλασμάτων (2)	3	3
4) Πολιτικὴ Γεωγραφία (Σακελλαρίου) (1)	3	3
5) Ὀρθογραφικαὶ ἀσκήσεις	1	2

Φωνητικὴ Μουσικὴ κατὰ τὰς ὁρισθησομένας ἡμέρας καὶ ὥρας.

Ἡ ἔναρξις τῶν μαθημάτων καθ' ἑκάστην ἀπὸ τῆς 8. — Κατὰ τοὺς μῆνας Νοέμβριον, Δεκέμβριον καὶ Ἰανουάριον ἄρχονται τὰ μαθήματα ἀπὸ τῆς 8 1[2.

Διδάσκαλοι.

(1) Γεώργιος Ῥαφάνης.
(2) Ἀναστάσιος Χουρμουζιάδης.
(3) Ὀθωμανός.
(4) Γάλλος.

—o—

Γ'.

Πρόγραμμα τῶν δημοσίων ἐξετάσεων τῆς Μεγάλης τοῦ Γένους Σχολῆς, ἀρχομένων τῇ 16 Ἰουνίου.

(Ἐργάσιμοι ὧραι ἀπὸ τῆς 12—4 καὶ ἀπὸ τῆς 6—9 Τουρκιστί).

—

Τάξις τῶν τελειοδιδάκτων.

Μαθήματα	Καθηγηταὶ
1) Δογματικὴ Θεολογία	Φ. Βρυέννιος.
2) Ἑλληνικὴ Φιλολογία (Πίνδ. καὶ Σοφοκλ.)	Ι. Φιλαλήθης.
3) Λατινικὴ Φιλολογία (Οὐϊργίλ. καὶ Ὁράτ.)	Αἰμ. Νοννόττης.
4) Ἱστορία τῆς Φιλοσοφίας καὶ Καλλιλογία	Ι. Ἀριστοκλῆς.
5) Φυσικὴ πειραματικὴ καὶ Χημία	Α. Σπαθάρης.
6) Ἱστορία νεωτέρα	Αἰμ. Νοννόττης.
7) Θέσεις.	

—

Αἱ λοιπαὶ τάξεις.

Μαθήματα.	Τάξεις.	Καθηγηταί.
1) Ἐκκλησιαστικὴ Ἱστορία	Β'.	Φ. Βρυέννιος.
2) Ἑλληνικὰ (Ὁμηρ. καὶ Θεόκρ.)	Β'.	Α. Χαρίλαος.
3) Ψυχολογία	Γ'.	Ι. Ἀριστοκλῆς.
4) Ἑλλην. (Δημ. περὶ Στεφ. καὶ Πλάτ. Ἀλκ.)	Δ'.	Β. Καλλίφρων.
5) Ἄλγεβρα	Γ'.	Α. Σπαθάρης.
6) Ἐμπορικὸν δίκαιον	Β'.	Ν. Γεωργιάδης.
7) Ὀθωμανικὰ (Ῥοδινσὼν)	Γ'. καὶ Δ'.	Μεχ. Χουλουσή.
8) Ἀριθμητικὴ θεωρητικὴ	Ε'.	Κ. Ζαχαριάδης.
9) Ἱστορία μέση	Β'.	Αἰμ. Νοννόττης.
10) Ἑλληνικ. (Θουκυδ. καὶ Ἡρόδ.)	Γ'.	Α. Χαρίλαος.
11) Ῥωμαϊκὴ Ἱστορία	Γ'.	Κ. Ζαχαριάδης.
12) Λατινικὰ (Σαλλούστ. καὶ Ὀβίδ.)	Β'.	Αἰμ. Νοννόττης.
13) Γεωμετρία	Δ'.	Α. Σπαθάρης.
14) Λογικὴ, Ἠθικὴ καὶ φυσικὸν δίκαιον	Β'.	Ι. Ἀριστοκλῆς.
15) Φυσικὴ καὶ μαθηματικὴ Γεωγραφία	Ε'.	Α. Σπαθάρης.
16) Ἑλληνικ. (Δημοσθ. Ὀλυνθιακοὶ)	Ε'.	Β. Καλλίφρων.
17) Κοσμογραφία	Β'.	Α. Σπαθάρης.
18) Ἀνθρωπολογία καὶ εἰσαγ. εἰς τὴν Φιλοσ.	Δ'.	Ι. Ἀριστοκλῆς.
19) Γαλλικὰ (χρησομ. Βινὲτ καὶ θεματογρ.)	Γ'. καὶ Δ'.	Αἰμ. Νοννόττης.
20) Λατινικὰ (στοιχειώδη μαθήματα)	Ε'.	Ι. Φιλαλήθης.

Μαθήματα.	Τάξεις.	Καθηγηταί.
21) Λατινικ. (Καῖσαρ καὶ Κικέρ.)	Γ΄.	Αἰμ. Νοννόττης.
22) Ἀρχαία Ἱστορία	Δ΄.	Κ. Ζαχαριάδης.
23) Γαλλικὰ (στοιχ. μαθήματα)	Ε΄.	Αἰμ. Νοννάττης.
24) Ἀρχαιολογία Ἑλληνικὴ	Δ΄.	Κ. Ζαχαριάδης.
25) Λατινικ. (Καῖσ. καὶ Ἰουστῖν.)	Δ΄.	Αἰμ. Νοννόττης.
26) Μυθολογία	Ε΄.	Κ. Ζαχαριάδης.

—o—

Πρόγραμμα τῶν δημοσίων ἐξετάσεων τῆς Προκαταρκτικῆς Σχολῆς, ἀρχομένων μετὰ τὴν λῆξιν τῶν ἐξετάσεων τῆς Μεγάλης Σχολῆς.

—

Μαθήματα.	Τάξεις.	Διδάσκαλοι.
1) Ἱερὰ Κατήχησις	Α΄.	Γεώργιος Ῥαφάνης.
2) Ἑλληνικὰ (ὁ Παραινετ. τοῦ Μεγ. Βασι-[λείου καὶ ὁ Ἐπιτάφ. τοῦ Λυσ.)	Α΄.	Γεώργιος Ῥαφάνης.
3) Ἑλληνικ. (ἐκ τῶν τοῦ Ξενοφ. Ἀπομνημ.) [μετὰ τεχνολογ.	Β΄.	Α. Χουρμουζιάδης.
4) Γεωμετρία στοιχειώδης	Α΄.	Α. Χουρμουζιάδης.
5) Γεωγραφία πολιτικὴ	Β΄.	Γεώργ. Ῥαφάνης.
6) Ὀθωμανικὰ (στοιχ. μαθήματα)	Α΄.	Μεχμὲτ Χουλουσή.
7) Ἱερὰ Ἱστορία τῆς Π. καὶ Καιν. Διαθήκ.	Γ΄.	Γ. Ῥαφάνης.
8) Γαλλικὰ (στοιχ. μαθήματα)	Β΄.	Κ. Ζαχαριάδης.
9) Ἑλληνικὴ Ἱστορία	Α΄.	Γ. Ῥαφάνης.
10) Ἀριθμητικὴ μέχρι τῶν κλασμάτων	Γ΄.	Α. Χουρμουζιάδης.
11) Ἀριθμητ. ἐκ τῶν κλασμ. μέχριτέλους	Β΄.	Α. Χουρμουζιάδης.
12) Γεωγραφία πολιτικὴ	Γ΄.	Γ. Ῥαφάνης.
13) Ἑλληνικ. (ὁ Περὶ τοῦ κατὰ Θεὸν πολιτ. [Ἰωάν. τοῦ Χρυσος.) μετὰ τεχνολογ.	Γ΄.	Α. Χουρμουζιάδης.

Ἐξεδόθη ἐν τῇ Μεγάλῃ τοῦ Γένους Σχολῇ, τῇ 7 Ἰουνίου 1868.

Ὁ Σχολάρχης Φ. ΒΡΥΕΝΝΙΟΣ.

Ὁ Γραμματεὺς Β. Δ. ΚΑΛΛΙΦΡΩΝ.

—o—

Δ΄.

Τύπος Πτυχίου κατὰ τὸ ἔτος 1868.

—

« Ἀρχὴ σοφίας
Φόβος Κυρίου. »

(Παροιμ. Σολομ. ά. 7).

Μεγάλη τοῦ Γένους Σχολή.

Ἐν Κωνσταντινουπόλει.

Πατριάρχης Κωνσταντινουπόλεως ΓΡΗΓΟΡΙΟΣ ἐπιβεβαιοῖ.

—

Ἐπὶ Γρηγορίου Ϛ΄. Οἰκουμενικοῦ Πατριάρχου, σχολαρχοῦντος ἐν τῇ Μεγάλῃ τοῦ Γένους Σχολῇ Φιλοθέου Ἀρχιμανδρίτου τοῦ Βρυεννίου, Καθηγητοῦ τῶν Θεολογικῶν μαθημάτων ἐν τῇ αὐτῇ Σχολῇ . . . . . τὴν πατρίδα καὶ τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας τέκνῳ, πενταετίαν ὅλην ἐνδελεχῶς φοιτήσαντι ἐν τῇ εἰρημένῃ Σχολῇ, καὶ κόσμιον ἑαυτὸν καὶ τοῖς τρόποις χρηστὸν καὶ θεοσεβῆ παρασχόντι, ἐν δὲ ταῖς δημοσίᾳ γενομέναις δοκιμασίαις περὶ τὴν Δογματικὴν Θεολογίαν, τὴν Ἐκκλησιαστικὴν Ἱστορίαν, τὰ Ἑλληνικά, τὰ Λατινικά, τὴν Φιλοσοφίαν, τὴν Ῥητορικήν, τὴν Γενικὴν Ἱστορίαν, τὰ στοιχεῖα τῶν Μαθηματικῶν καὶ τῆς Πειραματικῆς Φυσικῆς καὶ Χημίας. τὰ Γαλλικὰ καὶ τὰ Ὀθωμανικά, ἄξιον ἑαυτὸν τοῦ βαθμοῦ . . . ἐπιδειξαμένῳ, δέδοται εἰς μαρτύριον τόδε τὸ Πτυχίον, σεσημασμένον μὲν τῇ τῆς Σχολῆς σφραγῖδι, ταῖς δὲ προσηκούσαις κεκυρωμένον ὑπογραφαῖς. Καὶ ἔξεστιν αὐτῷ μὴ μόνον ὑψηλοτέρων ἀκροάσασθαι μαθημάτων, εἰ βούλεται, ἀλλὰ καὶ ἀκωλύτως ἰδίᾳ τε καὶ δημοσίᾳ διδάσκειν.

Ἐν Κωνσταντινουπόλει, μηνὸς Ἰουνίου λήγοντος τοῦ χιλιοστοῦ ὀκτακοσιοστοῦ ἑξηκοστοῦ ὀγδόου σωτηρίου ἔτους.

(Τ. Σ.)

Οἱ Ἔφοροι Ὁ Σχολάρχης Οἱ Καθηγηταὶ

—

Σημειούσθω ἐνταῦθα ὅτι καὶ εἰς τὸν Ἰωάννην Γεωργίου, μεσιτείᾳ τῆς Α. Θ. Π., ἐδόθη κατ' ἐπιείκειαν πτυχίον, ἔχον βαθμὸν «*σχεδὸν καλῶς*».

Ἔτι δὲ ὁ φοιτητὴς Θεόδωρος Τσουνίδης ἐκ Γανοχώρων, ἀποφοιτήσας μὲν πρὸ διετίας, μὴ λαβὼν δὲ Πτυχίον, ἅτε μὴ ἐξετασθεὶς εἰς τὰ Φυσικομαθηματικά, παρουσιασθεὶς καὶ ὑποστὰς καὶ τὴν ἐν αὐτοῖς ἐξέτασιν, ἔτυχε τοῦ νενομισμένου Πτυχίου μετὰ τοῦ βαθμοῦ «*καλῶς*».

—o—

Ε'.

Αἱ θέσεις τῶν ἀπολυθέντων φοιτητῶν.

—

1) Τίνες οἱ κυριώτεροι χαρακτῆρες τῶν διαφόρων ἱστορικῶν ἐποχῶν, ἤτοι τῆς ἀρχαίας Ἱστορίας, τῆς Μακεδονικῆς, τῆς Ῥωμαϊκῆς καὶ τῆς μέσης, ἐφ' ὧν ἐρειδόμενοι οἱ ἱστορικοὶ διαιροῦσι τὴν ἱστορίαν εἰς ἐποχὰς —ὑπὸ Γ. Κατσελίδου.

2) Εἰς τί συνετέλεσεν ἡ κατάκτησις τῆς Ἀσίας ὑπὸ τῶν Μακεδόνων —ὑπὸ Δ. Λογιάδου.

3) Περὶ τῆς τοῦ Σοφοκλέους Ἀντιγόνης—ὑπὸ Ε. Ἰσμυρίδου.

4) Περὶ τῆς σημασίας καὶ ἐπιῤῥοῆς τοῦ αὐτοκρ. Ἰουστινιανοῦ ἐπὶ τῆς Ῥωμαϊκῆς νομοθεσίας—ὑπὸ Ἐ. Παπαδάκη.

5) Περὶ τῶν φιλοσοφικῶν ἀρχῶν τοῦ Ἐμπεδοκλέους — ὑπὸ Ι. Ἰατρουδάκη.

6) Περὶ σοφιστῶν—ὑπὸ Κ. Κωνσταντινίδου.

7) Περὶ τοῦ καλοῦ καὶ μὴ καλοῦ—ὑπὸ Ν. Παντελεήμονος.

8) Μετάβασις ἐπὶ τὴν Σωκρατικὴν φιλοσοφίαν καὶ μελέτη ἐπὶ τῶν ἐπιστολῶν τοῦ Μ. Βασιλείου—ὑπὸ Σ. Μιχαήλ.

9) Βιογραφία Σαμουὴλ τοῦ Κυπρίου—ὑπὸ Σ. Δημ. Οἰκονομίδου.

10) Τίνα τὰ αἴτια καὶ αἱ ἀφορμαὶ τῆς μεταῤῥυθμίσεως τῆς Δυτικῆς Ἐκκλησίας—ὑπὸ Σ. Β. Τσαπραζίδου.

11) Περὶ τῶν πρὸ καὶ μετὰ τὴν κατάκτησιν τῆς Κων[πόλεως εἰς Ἰταλίαν καταφυγόντων Ἑλλήνων κτλ.—ὑπὸ Φ. Μεσθενέως.

12) Αἴτια τῆς ἀποτυχίας τῶν Σταυροφοριῶν — ὑπὸ Γεωρ. Χαραλάμπους.

13) Βίος τοῦ ἀοιδ. Κ. Κούμα—ὑπὸ Δ. Ἰωσηφίδου.

14) Περὶ τοῦ φεουδαλισμοῦ—ὑπὸ Δ. Γρηγορίου.

15) Περὶ Ἀναξαγόρου—ὑπὸ Μ. Τσεκούρα.

16) Περὶ τῶν στοιχείων, ἐξ ὧν συνίσταται ὁ ὀρθὸς λόγος — ὑπὸ Ν. Ἀρσένη.

17) Πλατωνικαὶ μελέται—ὑπὸ Ι. Γεωργίου.

18) Περὶ τῆς προσκυνήσεως τῶν ἁγίων εἰκόνων — ὑπὸ Θ. Τσουνίδου.

Αἱ θέσεις αὗται, ἀντιγραφεῖσαι καθαρῶς, κατετέθησαν ἐν τοῖς Ἀρχείοις τῆς Σχολῆς.

—o—

ς'.

ΕΛΕΓΧΟΣ

τῶν δημοσίων ἐξετάσεων τῶν μαθητῶν τῆς Μ. τοῦ Γ. Σχολῆς,

κατὰ τὸ σχολικὸν ἔτος 1867—1868.

—

ΤΑΞΙΣ Β΄.

Μαθήματα.	Ἐκκλησ. Ἱστορία.	Ἑλληνικά.	Ἐμπορ. Δίκαιον.	Ἱστορία μέση.	Λατινικά.	Λογ. Ἠθικ. καὶ Φ. Δίκ.	Τριγωνομ. καὶ Κοσμογρ.	
Μαθηταί.	Βαθμοί.							
1) Κωνσταντῖνος Π. Βασιλείου	Α	Α	Β	Β	Α	Α	Α	
2) Λυκοῦργος Καλυδόπουλος	Α	Β	Β	Α	Α	Α	Γ	
3) Ἠλίας Ἀλεξάνδρου	Β	Δ		Β	Γ	Β	Δ	Ἐξετασθεὶς τὰ Ἑλλ. καὶ τὴν Τριγ. μετὰ τῆς Κοσμ. ἔτυχε τοῦ 6. Καλῶς.
4) Μανουὴλ Ἰωάννου	Α	Β		Β	Δ	Β	†Γ	Ἐν τῷ μαθ. τῆς Τρ. καὶ Κ. ὡς καὶ ἐν τοῖς Λατ. ἐξετασθεὶς κατὰ 7βριον ἔτυχε
5) Θεόδωρος Θωμᾶ	Γ	Γ		Β	Γ	Β	†Γ	Ὡσαύτως. τοῦ 6. Καλῶς.
